ἐς Θηβαίων, Marg. idem mox ἓν pro ἅλις, supra scripta nota libri ν, nisi oculis fallor.

Digitized by Google

Ἡ σύνθεσις μείζονα ἰσχὺν ἔχει τῆς ἐκλογῆς.

Καί μοι δοκεῖ τις οὐκ ἂν ἁμαρτάνειν, εἰκάσας αὐτὴν τῇ Ὁμηρικῇ Ἀθηνᾷ. Ἐκείνη τε γὰρ τὸν Ὀδυσσέα τὸν αὐτὸν ὄντα ἄλλοτε ἀλλοῖον ἐποίει φαίνεσθαι· τοτὲ μὲν ῥυσὸν καὶ μικρὸν καὶ αἰσχρόν,

Πτωχῷ λευγαλέῳ ἐναλίγκιον, ἠδὲ γέροντι·

τοτὲ δὲ, τῇ αὐτῇ ῥάβδῳ πάλιν ἐφαψαμένη,

Μείζονά τ' εἰσιδέειν καὶ πάσσονα [ϑῆκεν ἰδέσϑαι·]

— — — — — καὶ δὲ κάρητος

Οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.

αὕτη σε, τὰ αὐτὰ λαμβάνουσα ὀνόματα, τοτὲ μὲν ἄμορφα καὶ πτωχὰ καὶ ταπεινὰ ποιεῖ φαίνεσθαι τὰ νοήματα, τοτὲ δὲ ὑψηλὰ καὶ πλούσια καὶ ἁδρὰ καὶ καλά. Καὶ τοῦτ' ἦν σχέδον, ᾧ μάλιστα διαλλάττει.

cf. p. 290.

Καί μοι οὐ δοκεῖ τις ἁμαρτεῖν, Marg. et MS.

ῥυσσὸν, Ald. Emendatur in v. l.

ἠδὲ γέροντι, Ald. καὶ γέροντι, l.

Ad verba: ϑῆκεν ἰδέσϑαι in Marg. adscriptum est: „videntur abundare verba haec: ϑῆκεν ἰδέσϑαι." Recte, opinor. Seclusi. vid. Homer. Odyss. VI. 230.

Paullo ante: τῇ αὐτῇ ῥαύδῳ vitiose. Ald.

αὐτή τε, τὰ αὐτὰ, Ald. MS.

καὶ ταπεινὰ καὶ πτωχὰ, verso ordine MS.

καὶ τοῦτ' ἦν σχεδὸν, ᾧ μάλιστα δ., Ald., quocum l. et MS. consentiunt, nisi quod ab his duobus σχεδὸν abest. Vulgo: καὶ τούτῳ μάλιστα διαλλ.

Digitized by Google

ποιητής τε ποιητοῦ, καὶ ῥήτωρ ῥήτορος· τὸ συντιθέναι δεξιῶς τὰ ὀνόματα.

Τοῖς μὲν οὖν ἀρχαίοις ὀλίγου δεῖν, πᾶσι πολλὴ ἐπίδοσις ἦν αὐτοῦ· παρ' ὃ καὶ καλά ἐστιν αὐτῶν τὰ μέτρα, καὶ τὰ μέλη, καὶ οἱ λόγοι· τοῖς δὲ μεταγενεστέροις οὐκέτι, πλὴν ὀλίγων· χρόνῳ δὲ ὕστερον παντάπασιν ἠμελήθη, καὶ οὐδεὶς ὤετο δεῖν ἀναγκαῖον αὐτὸ εἶναι, οὐδὲ συμβάλλεσθαί τι τῷ κάλλει τῶν λόγων. Τοιγάρτοι τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν· Φύλαρχον λέγω, καὶ Δοῦριν, καὶ Πολύβιον, καὶ Ψάωνα, καὶ τὸν Καλαντιανὸν Δημήτριον, Ἱερώνυμόν τε καὶ Ἀντίλοχον, καὶ Ἡρακλείδην, καὶ Ἡγησίαν Μάγνητα, καὶ ἄλλους μυρίους· ὧν ἁπάντων τὰ ὀνόματα εἰ βουλοίμην λέγειν, ἐπιλείψει με ὁ τῆς ἡμέρας χρόνος.

τῷ συντ. Mox τι ante τῷ κάλλει ab Aldo omissum suppl. Marg.

τοιαῦται συντ. praebens, Ald. iterum in eod. corrigitur.

Π. καὶ Στράτωνα, *l.* Π. κ. Σάωνα, Ald.

Καλαυδιὰν Δημ., *l.* Καλαντιανὸν Δ., Ald.

καὶ Ἀντίλογον, id. Ἀντίγονον, *l.*

καὶ Ἡγησιάνακτα M., Ald.

Ad verba: ἐπιλείψει — χρόνος Marg. habet hanc adnotationem: „Verba, sententiaque ex Demosthene sumpta ex oratione περὶ στεφάνου, 108. Ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδότων ὀνόματα.“ τοῦ λόγου Χρυσόπ., *l.*

Digitized by Google

Καὶ τί δεῖ τούτους θαυμάζειν, ὅπου γε καὶ οἱ τὴν φιλοσοφίαν ἐπαγγελλόμενοι, καὶ τὰς διαλεκτικὰς ἐκφέροντες τέχνας, οὕτως εἰσὶν ἄθλιοι περὶ τὴν σύνθεσιν τῶν ὀνομάτων, ὥστε αἰδεῖσθαι καὶ λέγειν; Ἀπόχρη δὲ τεκμηρίῳ χρήσασθαι τῷ λόγῳ Χρυσίππου τοῦ Στωϊκοῦ· περαιτέρω γὰρ οὐκ ἂν προβαίην. Τούτου γὰρ οὔτε ἄμεινον οὐδεὶς τὰς διαλεκτικὰς τέχνας ἠκρίβωσεν, οὔτε χείρονι ἁρμονίᾳ συνταχθέντας ἐξήνεγκε λόγους τῶν γοῦν ὀνόματος καὶ δόξης ἀξιωθέντων. Καίτοι σπουδάζειν γέ τινες προσεποιήθησαν αὐτῶν καὶ περὶ τοῦτο τὸ μέρος, ὡς ἀναγκαῖον ὂν τῷ λόγῳ, καὶ τέχνας τινὰς ἐπέγραψαν ὑπὲρ τῆς συντάξεως τῶν τοῦ λόγου μορίων. Ἀλλὰ πολύ τι [μᾶλλον] πάντες ἀπὸ τῆς ἀληθείας ἀπεπλανήθησαν, καὶ οὐδὲ ὄναρ εἶδον, τί ποτ' ἐστὶ τὸ ποιοῦν ἡδεῖαν καὶ καλὴν τὴν σύνθεσιν.

Ἔγωγ' οὖν, ὅτε διέγνων συντάττεσθαι ταύτην τὴν ὑπόθεσιν, ἐζήτουν, εἴ τι τοῖς πρότερον εἴρηται

γοῦν ex cod. fonte transtuli in hanc editionem ante ὀνόματος.

δόξ. ἠξιωμένων, id. lib.

καί τοι σπουδάζεσθαι, id. σπουδάζειν τε, Ald. Emendatur in *v. l.*

ὂν post ἀναγκαῖον ab cod. omissum suppletur in *l.*

μᾶλλον ante πάντες abest ab Aldin. seclusi.

ὅτε ἔγνων συντ. cod. ed.

Digitized by Google

περὶ αὐτῆς, καὶ μάλιστα τοῖς ἀπὸ τῆς Στοᾶς Φιλοσόφοις, εἰδὼς τοὺς ἄνδρας οὐ μικρὰν Φροντίδα τοῦ λεκτικοῦ τόπου πεποιημένους· δεῖ γὰρ αὐτοῖς τἀληθῆ μαρτυρεῖν. Οὐδαμῇ δὲ οὐδὲν ὑπ' οὐδενὸς εὑρὼν τῶν γοῦν ὀνόματος ἠξιωμένων οὔτε μεῖζον οὔτε ἔλαττον συναχθὲν εἰς ἣν ἐγὼ προῃρημαι πραγματείαν· ἃς δὲ Χρύσιππος καταλέλοιπε συντάξεις διττὰς, ἐπιγραφὴν ἐχούσας, Περὶ τῆς συντάξεως τῶν τοῦ λόγου μερῶν, οὐ ῥητορικὴν θεωρίαν ἐχούσας, ἀλλὰ διαλεκτικὴν, ὡς ἴσασιν οἱ τὰς βίβλους ἀνεγνωκότες, ὑπὲρ ἀξιωμάτων συντάξεως, ἀληθῶν τε καὶ ψευδῶν, καὶ δυνατῶν καὶ ἀδυνάτων, ἐνδεχομένων τε

τόπου ποιουμένους, cad.

δὲ post οὐδαμῇ additum Aldinae inter versa.

Post οὐδένος l. habet ἂν τῆς (i. e. ni fallor τῆς.) Pro εὑρὼν utraque marginis parte repetitum legitur ὁρῶν. Item post οὐδένος inseri iubet εἰρημένον, (quod puto glossam esse vocabuli συναχθὲν), post εὑρὼν τῶν vero addit γοῦν, quod recepi. εὗρον τῶν, omisso συναχθὲν, Ald. Unde, absque reliquorum auctoritate librorum esset, hic locus ita foret refingendus: Οὐδ. δὲ οὐδὲν ὑπ' οὐδ. αὐτῆς (i. e. στοᾶς) ὁρῶν τῶν γοῦν ὀν.

ἔλαττ. εἰρημένον εἰς ἣν, etc.

Ad verba ἐπιγραφὴν ἐχ. etc. Margo: „sic in l. ἐχούσας περὶ τῆς συνζεύξεως τῶν τοῦ λόγου μέρων οὐ ῥητορικὴν θεωρίαν ἐχούσας, ἀλλὰ, etc.“ Hisce corrigitur Aldin., ita haec exhibens, ut ante περὶ legatur οὐ, et huius particulae loco: καὶ.

διττὴν ἐπιγραφὴν, l.

Digitized by Google

καὶ μεταπιπτόντων, καὶ ἀμφιβόλων, καὶ ἄλλων τινῶν τοιουτοτρόπων, οὐδεμίαν οὔτε χρείαν οὔτ' ὠφέλειαν τοῖς πολιτικοῖς λόγοις συμβαλλομένας, εἰς γοῦν ἡδονὴν ἢ κάλλος ἑρμηνείας, ὧν δεῖ στοχάζεσθαι τὴν φύσιν· ταύτης μὲν τῆς πραγματείας ἀπέστην, ἐσκόπουν δὲ αὐτὸς ἐπ' ἐμαυτοῦ γενόμενος, εἴ τινα δυναίμην εὑρεῖν φυσικὴν ἀφορμὴν, ἐπειδὴ παντὸς πράγματος καὶ πάσης ζητήσεως αὕτη δοκεῖ κρατίστη εἶναι ἀρχή. Ἀψάμενος δέ τινων θεωρημάτων, καὶ δόξας ὁδῷ τινι τὸ πρᾶγμα χωρεῖν, ὡς ἔμαθον ἐτέρωσέ πως ταύτην ἄγουσαν ἐμὲ τὴν ὁδὸν, οὐχ ὅποι προὐθέμην καὶ ἀναγκαῖον ἦν ἐλθεῖν, ἀπέστην. Κωλύσει δὲ οὐδὲν ἴσως κἀκείνης ἅψασθαι τῆς θεωρίας, καὶ τὰς αἰτίας εἰπεῖν, δι' ἃς ἐξέλιπον αὐτὴν, ἵνα μή με δόξῃ τις ἀγνοίᾳ παρελθεῖν αὐτὴν, ἀλλὰ προαιρέσει.

καὶ ἀμφιλόβων, καὶ ἄλλων, *v.* vulgatam praebet *l.*

idem lib. mox verso ordine: οὔτ' ὠφέλειαν, οὔτε χρ.

οὔτ' ὠφ. ab Aldo omissa in Marg. supplentur.

λόγοις συμβαλλομένας, *l.* Vulg. συμβαλλομένων.

ἐπὶ παντὸς, Ald. Marg. emend.

ζητήσεως αὐτὴ, Marg.

καὶ ante κρατίστη, non ante ἀρχὴ ponit Ald. καὶ abest ab *l.* Vulg. ante ἀρχὴ legitur.

ὁδῷ τινι τὰ πράγματα προχωρεῖν, *l.*

ἐμὲ post ἄγουσαν abest ab *l.*

post προὐθέμην ex eod. libr. nullo sensu inseritur πορευοίμην.

κωλύσει δὲ οὐδὲν, Marg. Vulg. κωλύει δὲ οὐδ.

μὴ ante προαιρέσει ab Aldin. abest. cf. p. 290.

Digitized by Google

ΤΜΗΜΑ ε.

Τὰ μόρια τοῦ λόγου πῶς ἁρμοστέον.

Ἐδόκει δή μοι τῇ Φύσει μάλιστα ἡμᾶς ἑπομένους οὕτω δεῖν ἁρμόττειν τὰ μόρια τοῦ λόγου, ὡς ἐκείνη βούλεται. Αὐτίκα τὰ ὀνόματα πρῶτα ἡγούμην τάττειν πρὸ τῶν ῥημάτων· τὰ μὲν γὰρ τὴν οὐσίαν δηλοῦν, τὰ δὲ τὸ συμβεβηκός· πρότερον δὲ εἶναι τῇ Φύσει τὴν οὐσίαν τῶν συμβεβηκότων· ὡς τὰ Ὁμηρικὰ ἔχει ταυτί·

Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον.

καί·

Μῆνιν ἄειδε, θεά.

καί·

Ἥλιος δ' ἀνόρουσε λιπών.

καὶ τὰ παραπλήσια τούτοις. Ἡγεῖται μὲν γὰρ ἐν τούτοις τὰ ὀνόματα, ἕπεται δὲ τὰ ῥήματα. Πιθανὸς ὁ λόγος, ἀλλ' οὐκ ἀληθὴς ἔδοξεν εἶναί μοι. Ἕτερα γοῦν παράσχοιτ' ἄν τις παραδείγματα παρὰ τῷ

Sect. V. ἐκείνη βεβούληται Ald. vulgatam habet *l.*

Post τὰ ὀνόματα ex Marg. recepi πρῶτα, conf. p. 228. ibiq. Schaefer.

ἡξίουν τάττειν, idem.

οὐσίαν δηλοῖ, *l.* αἰτίαν δηλοῖ, Ald.

post τὰ Ὁμηρικὰ ἔχει inserui ταυτὶ ex *l.*

Digitized by Google

αὐτῷ ποιητῇ κείμενα, ἐναντίως συντεταγμένα, ἢ ταῦτα συντέτακται, καλά τε οὐχ ἧττον καὶ πιθανά. Τίνα οὖν ἐστι ταῦτα;

Κλῦθί μευ, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη.

καί·

Ἔσπετε νῦν μοι, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι.

καί·

Μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ.

Ἐν γὰρ τούτοις ἡγεῖται μὲν ῥήματα, ὑποτέτακται δὲ τὰ ὀνόματα· καὶ οὐδεὶς ἂν αἰτιάσαιτο τὴν σύνταξιν αὐτῶν ὡς ἀηδῆ.

Ἔτι πρὸς τούτοις ἄμεινον ἐδόκουν εἶναι τὰ ῥήματα πρότερα τάττειν τῶν ἐπιῤῥημάτων· ἐπειδὴ πρότερόν ἐστι τῇ φύσει τὸ ποιοῦν ἢ πάσχον τῶν συνεδρευόντων αὐτοῖς· τρόπου λέγω, καὶ τόπου, καὶ χρόνου, καὶ τῶν παραπλησίων, ἃ δὴ καλοῦμεν ἐπιῤῥήματα· παραδείγμασι χρώμενος τούτοις·

Τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὄρνυτ' ἀεικής.

Ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν.

καὶ ante μνῆσαι, item δὲ, quod vulg. ante πρὸς τούτοις extat, omitt. Ald.

ῥήματα προτάττειν τῶν, Marg. conf. p. 82.

καὶ, quod vulgo ante καλοῦμεν legitur, linea damnat P. Victor.

v. 1. τύπτ' ἐπιστροφάδην, Ald. Emendat. in Marg.

Digitized by Google

Ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρός.

Ἐν ἅπασι γὰρ δὴ τούτοις ὕστερα τέτακται τῶν ῥημάτων τὰ ἐπιῤῥήματα. Καὶ τοῦτο πιθανὸν μὲν, ὡς τὸ πρῶτον, οὐκ ἀληθὲς δὲ, ὡς οὐδὲ ἐκεῖνο. Καὶ γὰρ δὴ καὶ ταῦτα παρὰ τῷ αὐτῷ ποιητῇ ἐναντίως, ἢ ἐκεῖνα, εἴρηται·

Βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσι.

Σήμερον ἄνδρα φάοσδε μογοστόκος Εἰλείθυια Ἐκφανεῖ.

Ἆρ' οὖν χείρω τι γέγονε τὰ ποιήματα, ὑποταχθέντων ἐνταῦθα τοῖς ἐπιῤῥήμασι τῶν ῥημάτων; Οὐδεὶς ἂν εἴποι.

Καὶ τάδε ᾠόμην δεῖν μὴ παρέργως φυλάττειν, ὅπως τὰ πρότερα τοῖς χρόνοις καὶ τῇ τάξει πρότερα λαμβάνηται· οἷά ἐστι ταυτί·

δὴ idem inser. post ἅπασι γὰρ, quod nolui omittere coll. p. 112. 236. passim.

καὶ ante τοῦτο πιθανὸν omitt. Ald. Marg. suppl.

ὡς τοπρῶτον, Ald.

ἐκεῖνο. Τάδε γὰρ δὴ παρὰ τῷ αὐτῷ ποιητῇ ἐναντίως ἐκείνοις εἴρηται. Marg. (ἐκείνοις, *l.*) αὐτῷ vulgat. editionibus deest.

v. 2. μογόστολος, Ald. Emendat. in Marg.

v. 3. ἐκφαίνει, *l.* ἐνθάδε τοῖς ἐπιῤῥ., *l.*

Sequentia partim ex margine ita exhibenda curavi, ut in nostra ed. legis. Vulg. τῶν ῥημάτων; Ἔτι καὶ τάδε, etc. ἂν εἴπε, Marg. conf. p. 100.

τὰ πρότερα τοῖς, Ald. Emen-

Digitized by Google

Αὖ ἔρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν. καί·

Λίγξε βιὸς, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀϊστός. τ καί·

Σφαῖραν ἔπειτ' ἔρριψε μετ' ἀμφίπολον βασίλεια·

Ἀμφιπόλου μὲν ἅμαρτε, βαθείη δ' ἔμβαλε δίνη.

Νὴ Δία, φαίη τις ἄν, εἴγε μὴ καὶ ἄλλα πολλὰ ἦν οὐχ οὕτω συντεταγμένα ποιήματα, οὐδὲν ἧττον ἢ ταῦτα καλά.

Πλῆξεν ἀνασχόμενος σχίζῃ δρυὸς, ἣν λίπε κείων. Πρότερον γὰρ δήπου τὸ ἐπανατείνασθαί ἐστι τοῦ πλῆξαι. Καὶ ἔτι·

Ἤλασεν ἄγχι στὰς, πέλεκυς δ' ἀπέκοψε τένοντας Αὐχενίους.

Πρῶτον γὰρ δήπου προσήκει τῷ μέλλοντι τὸν πέλεκυν ἐμβάλλειν εἰς τοὺς τένοντας τοῦ ταύρου, τὸ στῆναι αὐτοῦ πλησίον.

---

dat. in Marg. Vocabulum προτέρας obiter restitue ex Marg. Victorian. Nostro, Art. VIII. τ. ὅτι εἰκότως ἔλαθέ με δῶρα λαβὼν ἐπὶ τῆς προτέρας πρεσβείας.

Φαίη τις ἂν etc., *l.* Φ. τ. ἂν. εἰ καὶ ἄλλα πέλλα ἦν οὐχ οὕτω, Ald. Φ. τ. ἂν. Ἔστι δὲ ὅ, ἄλλα πολλὰ οὐχ οὕτω etc. vulgo.

ἧττον ἢ ταῦτα, Ald. Emendat. in *l.*

δρυὸς κάλλιπε κείων, Ald. Emendatur in eod. libr.

ἤλασεν ἀγχιστὰς, Ald.

Digitized by Google

Ἔτι πρὸς τούτοις ἠξίουν τὰ μὲν ὀνοματικὰ προτάττειν τῶν ἐπιθέτων· τὰ δὲ προσηγορικὰ τῶν ὀνοματικῶν· τὰς δὲ ἀντωνυμίας τῶν προσηγορικῶν· ἔν τε τοῖς ῥήμασι φυλάττειν, ἵνα τὰ ὀρθὰ τῶν ἐγκεκλιμένων ἡγῆται, καὶ τὰ παρεμφατικὰ τῶν ἀπαρεμφάτων, καὶ ἄλλα τοιαῦτα πολλά. Πάντα δὲ ταῦτα διεσάλευσεν ἡ πεῖρα, καὶ τοῦ μηδενὸς ἄξια ἀπέφηνε. Τοτὲ μὲν γὰρ ἐκ τούτων ἐγίνετο καὶ τῶν ὁμοίων αὐτοῖς ἡδεῖα ἡ σύνθεσις καὶ καλὴ, τοτὲ δὲ ἐκ τῶν μὴ τοιούτων, ἀλλ' ἐναντίων.

Διὰ ταύτας μὲν δὴ τὰς αἰτίας τῆς τοιαύτης θεωρίας ἀπέστην. Ἐμνήσθην δὲ αὐτῶν καὶ νῦν, οὐχ ὡς σπουδῆς ἀξίων· καὶ τὰς διαλεκτικὰς παρεθέμην τέχ-

---

καὶ ante ἠξίουν om. Ald.

ἀντωνομασίας, idem.

τῶν ἐγκλινομένων, Marg.

ἡγεῖται, Ald.

τὰ ἀπαρεμφατικὰ τῶν παρεμφατικῶν ρ. κ. ἄλλα, Ald. Emendat. in *l.* conf. Schaefer ad h. l.

διεσάλευσεν et ἀπέφαινε, Ald.

σύνθεσις ἡ καλὴ, Ald. Emendat Marg.

μηδ' ἐναντίων, *l.*

τῆς τοιαύτης θεωρίας dedi, Marginem secutus. Vulg. omittunt τοιαύτης. Apud Longin. VII. 1. ante Toupium legebatur: μή τινα μεγέθους φαντασίαν ἔχοντα, ἢ πολὺ πρόσκειται τὸ εἰκῆ προσαναπλαττόμενον, ἀναπτυσσόμενα δὲ ἄλλως εὑρίσκοιτο κενά. Graevius orae exempli sui, (ed. T. Fabri, Salmur. 1663.) quod in Biblioth. Reg. Monac. asservatur, adscripsit: „l. ex MS. ἔχῃ τοιαύτην, ἢ πολύ."

Digitized by Google

ναι, οὐχ ὡς ἀναγκαίας, ἀλλ' ἵνα μηδεὶς δοκῶν ἔχειν τι αὐτὰς χρήσιμον εἰς τὴν παροῦσαν θεωρίαν, περὶ πολλοῦ ποιῆται εἰδέναι, θηρευθεὶς ταῖς ἐπιγραφαῖς τῶν πραγματειῶν ὁμοιότητά τινα ἐχούσαις, καὶ τῇ δόξῃ τῶν συνταξαμένων αὐτάς.

Τοῖς ἀρχαίοις πολλὴ ἦν πρόνοια τῆς συνθέσεως.

Ἐπάνειμι δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, ἀφ' ἧς εἰς ταῦτα ἐξέβην· ὅτι πολλὴ πρόνοια τοῖς ἀρχαίοις ἦν, καὶ ποιηταῖς καὶ συγγραφεῦσι, φιλοσόφοις τε καὶ ῥήτορσι, τῆς ἰδέας ταύτης· καὶ οὔτε τὰ ὀνόματα τοῖς ὀνόμασιν, οὔτε τὰ κῶλα τοῖς κώλοις, οὔτε τὰς περιόδους ἀλλήλαις εἰκῇ συνάπτειν ᾠοντο δεῖν· τέχνη δέ τις ἦν παρ' αὐτοῖς καὶ θεωρήματα, οἷς χρώμενοι συνετίθεσαν εὖ. Τίνα δὲ ἦν τὰ θεωρήματα ταῦτα, ἐγὼ πειράσομαι διδάσκειν, ὡς ἂν οἷός τε ὦ· ὅσα μοι δύναμις ἐγένετο συνεξευρεῖν, οὐχ ἅπαντα λέγων, ἀλλ' αὐτὰ τὰ ἀναγκαιότατα.

τῶν πραγματειῶν, Marg.

ταῦτα ἐξέω· ὅτι, Ald. Emendat. in Marg.

[Vocem ὁμοιότητα in οἰκειότητα mutatam velit Orelli in Append. ad Isocr. Or. περὶ ἀντιδ. p. 457.]

ἐγὼ ante πειράσομαι adieci ex *l*.

ἐγένετο ἐξευρεῖν, Ald. vulgatam praebet *l*.

Digitized by Google

ΤΜΗΜΑ στ'.

Τῆς συνθετικῆς ἐπιστήμης ἔργα τρία.

Δοκεῖ δὲ μοι τῆς συνθετικῆς ταύτης ἐπιστήμης τρία εἶναι τὰ ἔργα· ἓν μὲν, ἰδεῖν τί μετὰ τίνος ἁρμοττόμενον πέφυκε καλὴν καὶ ἡδεῖαν λήψεσθαι συζυγίαν· ἕτερον δὲ, γνῶναι τῶν ἁρμόττεσθαι μελλόντων πρὸς ἄλληλα πῶς ἂν ἕκαστον σχηματισθὲν κρεῖττονα φαίνεσθαι ποιήσειε τὴν ἁρμονίαν· τρίτον δὲ, εἴ τι δεῖται μετασκευῆς τῶν λαμβανομένων, ἀφαιρέσεως λέγω καὶ προσθήκης καὶ ἀλλοιώσεως, γνῶναί τε [πῶς] καὶ πρὸς τὴν μέλλουσαν χρείαν οἰκείως ἐξεργάσασθαι. Ὅτι δὲ τούτων ἕκαστον δύναται, σαφέστερον ἐρῶ, χρησάμενος εἰκόσι τῶν δημιουργικῶν

Sect. VI. δὲ post δοκεῖ inserui ex MSo. sequentia ex eodem fonte pro vulgatis: τῆς συνθ. ἐπιστήμης τρ. ἔργα εἶναι edidi.

τίνος ἁρμοζόμενον, MS. et *l.*

τρίτον εἴτε δεῖται, *v.* τρ. εἴτε δ., Ald. τρ. δέ τι, *l.* et vulg.

κατασκευῆς τῶν λαμβ., Ald. Emendat. in *l.*

Verba λέγω — ἀλλοιώσεως ab Aldo omissa suppl. Marg.

πρόσθέσεως κ. ἀλλ. Marg. et MS. v. Bast. ad Gregor. Cor. p. 161. et Comm. Palaeogr. p. 344.

πῶς ante καὶ πρὸς abest ab *l.* Seclusi. v. Schaefer. Melet. crit. p. 73.

ad verba: οἰκείως ἐξεργ. Margo: „γρ. ἐξεργάζεται."

Ὅτι δὲ τούτ., *l.* vulg. τί δὲ τ.

δημιουργῶν τεχνῶν, Ald. Emendatur in *l.*

Digitized by Google

τεχνῶν τισιν, ἃς ἅπαντες ἴσασιν· οἰκοδομικῇ λέγω, καὶ ναυπηγικῇ, καὶ ταῖς παρασκευαῖς παραπλησίαις. Ὁ τε γὰρ οἰκοδόμος, ὅταν πορίσηται τὴν ὕλην, ἐξ ἧς μέλλει κατασκευάζειν τὴν οἰκίαν, λίθους, καὶ ξύλα, καὶ κέραμον, καὶ τἆλλα πάντα, συντίθησιν ἐκ τούτων ἤδη τὸ ἔργον, τρία ταῦτα πραγματευόμενος· ποίῳ δεῖ λίθῳ τε καὶ ξύλῳ καὶ πλίνθῳ ποῖον ἁρμόσαι λίθον, ἢ ξύλον, ἢ πλίνθον· ἔπειτα, πῶς τῶν ἁρμοζομένων ἕκαστον καὶ ἐπὶ ποίας πλευρᾶς ἑδράσαι· καὶ τρίτον, εἴ τι δύσεδρόν ἐστιν, ἀπόκροῦσαι καὶ περικόψαι, καὶ τὸ αὐτὸ τοῦτο εὔεδρον ποιῆσαι· ὅ τε ναυπηγὸς τὰ αὐτὰ ταῦτα πραγματεύεται. Τὰ παραπλήσιά φημι δεῖν ποιεῖν καὶ τοὺς μέλλοντας εὖ συνθήσειν τὰ τοῦ λόγου μόρια. Πρῶτον μὲν, σκο-

---

καὶ ναυτικῇ, Ald. Emendat. ibid.

παρασκευαῖς ante παραπλησίαις, iam ab Ald. insertum, vulg. omissum, non erat, quod omitterem.

ἐξῆς μέλλει, Ald. Emendat. in Marg.

τὴν οἰκείαν, λίθ. etc., Ald. Emendat. ibid.

πλίνθῳ πρὸς ἁρμόσαι, MS.

πλευρᾶς ἑδῆσαι, Ald. Emendatur in *v. l.*

τὸ ante αὐτὸ inserui iubentibus Marg. et MSo.

ἑδραῖον ποιῆσαι, Ald. Emendat in *l.*

πραγματεύσεται δὴ. Παραπλήσια (Ald. vitiose: παραπλησία, emendat. in Marg.) In *l.* mea lectio est.

ποιεῖν post δεῖν ab eod. libr. abest.

συνθήσει, Ald. Emendat. in Marg.

Digitized by Google

πεῖν ποῖον ὄνομα, ἢ ῥῆμα, ἢ τῶν ἄλλων τί μορίων, ποίῳ συνταχθὲν ἐπιτηδείως ἔσται κείμενον, καὶ πῶς οὐκ ἄμεινον· οὐ γὰρ δὴ πάντα γε μετὰ πάντων τιθέμενα ὁμοίως πέφυκε διατιθέναι τὰς ἀκοάς. Ἔπειτα, διακρίνειν πῶς σχηματισθὲν τοὔνομα, ἢ τὸ ῥῆμα, ἢ τῶν ἄλλων ὁτιδήποτε, χαριέστερόν ἱδρυνθήσεται καὶ πρὸς τὰ ὑποκείμενα πρεπωδέστερον. Λέγω δὲ ἐπὶ μὲν τῶν ὀνομάτων, πότερον ἑνικῶς ἢ πληθυν-

---

μετὰ πάν τιθ., Marg. super vulgata lectione adscripta est nota libri: *v.* Hoc compendium causam esse liquet, cur minus recte πάντων pro πάντα legatur ap. Xenoph. Hier. IX. 10. Scrib. enim ex libro Victorian. εἰ καὶ κατὰ πάντα ἀμφαθὲς εἴη. Alius soloecismus tersissimi scriptoris verba inquinat in Hist. Gr. II. 1. 26. Leg. αὐτοὶ γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον. Item compendio syllabae terminalis perperam intellecto potior lectio obscurata est Exped. Cyr. V. 2. 14. καὶ τὰ βέλη ὁμοῦ ἐφέροντο. Malim ex Marg. Vict. ὁμόσε, *contra hostem*, neque secus in Cyrop. II. 3. 18. ἐπεὶ (Vict. ὅπου) δὲ ὁμόσε ἐγένοντο (Vict. γένοιντο.)

πέφυκεν ὁμοίως, verso ordine, MS. Pro ὁμοίως Ald. οὖν. Marg. „γρ. ὁμοίως", alio loco huius vocis nota tachygraphica: Θ: ponitur.

σχηματισθὲν καὶ τοὔνομα, Ald. quod lineola abesse debere significatur.

ἱδρυθήσεται, Ald. sed ν inter verss. adiectum. cf. p. 291.

πρότερον ἑνικῶς, id. Emendatur in Marg.

pro πληθυντικῶς Marg. apponit huius vocis notam tachygraphicam: πλ̃

Digitized by Google

τικῶς λαμβανόμενα κρείττω λήψεται συζυγίαν· καὶ πότερον κατὰ τὴν ὀρθὴν ἐκφερόμενα πτῶσιν, ἢ κατὰ τῶν πλαγίων τινά· καὶ εἴ τινα πέφυκεν ἐξ ἀρσενικῶν γίνεσθαι θηλυκὰ, ἢ ἐκ θηλυκῶν ἀρσενικὰ, ἢ οὐδέτερα, ἐκ τούτων πῶς ἂν ἄμεινον σχηματισθείη, καὶ πάντα τὰ τοιαῦτα. Ἐπὶ δὲ τῶν ῥημάτων, πότερα κρείττονα ἔσται λαμβανόμενα, τὰ ὀρθὰ, ἢ τὰ ὕπτια· καὶ κατὰ ποίας ἐγκλίσεις ἐκφερόμενα, ἃς δή τινες πτώσεις ῥηματικὰς καλοῦσι, κρατίστην ἕδραν λήψεται· καὶ ποίας παρεμφαίνοντα διαφορὰς χρόνων, καὶ εἴ τινα τοῖς ῥήμασιν ἄλλα παρακολουθεῖν πέφυκε. Τὰ δὲ αὐτὰ ταῦτα καὶ ἐπὶ τῶν ἄλλων τοῦ λόγου μερῶν φυλακτέον, ἵνα μὴ καθ' ἓν ἕκαστον λέγω. Ἐπὶ δὲ τούτοις, τὰ ληφθέντα διακρίνειν, εἴ τι δεῖται μετασκευῆς ὄνομα, ἢ ῥῆμα, ὡς ἂν

κρείττονα λήψεται, MS.

πότερα κατὰ τ., idem.

καὶ τίνα πέφυκεν (Ald. πέφυκεν) ἐξ ἀῤῥένων (Ald. ἀῤῥενικῶν.), *l.*

Pro ἀρσενικὰ in versu corrigitur ἀῤῥενικὰ. In hac scriptura utriusque vocabuli MS. consentit cum correctione Petri Victor.

ἐπεὶ δὲ τῶν ῥ., Ald. Emendat. in Marg., qui alio loco: ἐπί τέ habet.

πότερα κρείττω, MS. et Marg.

ἔσται λαβόμενα, *l.*

Verba ἃς δὴ—καλοῦσι omitt. MS.

ἄλλα παρακολουθεῖ. Τὰ — ἵνα μὴ καθ' ἕκαστον, *l.*

εἴ τι δεῖται, MS.

εἴ τι δεῖ μετὰ κατασκευῆς. *Cf. p. 291.*

Digitized by Google

ἐναρμονιώτερόν τε καὶ εὐῤῥότερον γένοιτο. Τοῦτο τὸ στοιχεῖον ἐν μὲν ποιητικῇ ψιλέστερόν ἐστιν, ἐν δὲ λόγοις πεζοῖς σπανιώτερον· πλὴν γίνεταί γε καὶ ἐν τούτοις, ἐφ' ὅσον ἂν ἐγχωρῇ. Ὁ τε γὰρ λέγων, „Εἰς τουτονὶ τὸν ἀγῶνα," προστέθεικέ τι τῇ ἀντωνυμίᾳ γράμμα, τῆς συνθέσεως στοχαζόμενος· ἄρτιον γὰρ ἦν „Εἰς τοῦτον τὸν ἀγῶνα" εἰπεῖν· καὶ πάλιν ὁ λέγων, „Κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν," τῇ προθέσει παρηύξηκε τοὔνομα· τὸ γὰρ „Ἰδὼν" ἀπέχρη· ὅ τε γράφων, „Μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν," ταῖς συναλοιφαῖς ἠλάττωκέ τὰ μόρια τοῦ λόγου, καὶ παρακέκρουκέ τινα τῶν γραμμάτων· καὶ ὅ „Ἐποίησε" ἀντὶ τοῦ „Ἐποίησεν" λέ-

---

εἰ τ. δ. καταμετασκευῆς, *L.* alio loco marginis adscriptum est: „γρ. μετακατασκευῆς, at potius μετασκευῆς, ut infra, ut μετασκευάζει τὰς λέξεις, etc. μετασκευὰς δέχεται τῶν κώλων, etc."

ἐν ἀρμονιώτερον, Ald. Emendat. in Marg.

πλὴν ante γίνεταί γε dedi ex MSS. et *l.* vulg. omisso πλὴν legunt γίνεται δὲ, (Ald. τὶ, MS. neque τε, neque δὲ.) v. Upton. ad h. l.

ἐφ' ὅσον, MS. et *l.* Vulg. ἐφ' ὁπόσον.

παρηύξησε τοὔνομα, MS.

ἀπέχρησεν, Ald. Emendat. in *l.*

καὶ ὁ γράφων, id. καὶ γράφ., MS. καὶ ὅτι γρ., Ald.

ἕνεκ' εἶκειν, Ald. Emendat. in *l.*

περικέκρουκε, *l.* περιεκέκρουκε, MS.

Digitized by Google

γων χωρὶς τοῦ ν, καὶ „Ἔγραψε" ἀντὶ τοῦ „Ἔγραψεν," καὶ „Ἀφαιρήσομαι" ἀντὶ τοῦ „Ἀφαιρεθήσομαι," καὶ πάντα τὰ τοιαῦτα· ὅ τε „Χωροφιλῆσαι" λέγων τὸ „Φιλοχωρῆσαι," καὶ „Λελύσεται" τὸ „Λυθήσεται," καὶ τὰ τοιουτότροπα, μετασκευάζει τὰς λέξεις, ἵνα αὐτῷ γένοιντο ἁρμοσθῆναι καλλίους καὶ ἐπιτηδειότεραι. cf. p. 291.

ΤΜΗΜΑ ζ'.

Τῶν κώλων ἁρμογὴ, ἡ δευτέρα τῆς συνθετικῆς ἐπιστήμης θεωρία.

Μία μὲν δὴ θεωρία τῆς συνθετικῆς ἐπιστήμης ἡ περὶ αὐτὰ τὰ πρῶτα μόρια καὶ στοιχεῖα τῆς λέξεως

καὶ ὁ ἀνὶ τοῦ Ἐποίησεν Ἐποίησε λέγων χωρὶς τοῦ ν, MS. cf. p. 291. καὶ ὁ Ἐποίησε etc. Marg.

καὶ Ἔργαψε, Ald. Emendat. in Marg.

ὅ. τ'. ἐχωροφίλησε λέγων τὸ Ἐφιλοχώρησε καὶ Λελύσεται ἀντὶ Λυθήσεται, etc. MS. ὅ τε Χωροφίλησε λέγων τὸ Ἐφιλοχώρησε, *l.* Marg: „λέγων abest ab *l.*" Eieci λέγων post λελύσεται et ἔγραψεν, ubi vulg. reperitur.

ἵνα αὐτῷ γένοιτο, Ald. Marg. emend.

ἁρμοσθῆναι, *l.* et MS.

καλλίονες καὶ, idem. Vulg. ἁρμοσθεῖσαι.

Sect. VII. τῆς συνθέσεως ἐπιστ., Marg.

ἡ ante περὶ αὐτὰ ab Ald. omissum suppletur in *vv. ll.* θεωρία recepi ex *l.* et MSo. a quo in praegressis θεωρία abest.

Digitized by Google

ἥδε· ἑτέρα δὲ, ὥσπερ καὶ κατ' ἀρχὰς ἔφαμεν, ἡ περὶ τὰ καλούμενα κῶλα, ποικιλωτέρας τε δεομένη πραγματείας καὶ μείζονος· ὑπὲρ ἧς αὐτίκα δὴ πειράσομαι λέγειν ὡς ἔχω γνώμης. Καὶ γὰρ ταῦτα ἁρμόσαι πρὸς ἄλληλα δεῖ, ὡς οἰκεῖα φαίνεσθαι καὶ φίλα, καὶ σχηματίσαι ὡς ἂν ἐνδέχηται κράτιστά, προσμετασκευάσαι τε, εἴ πού τι δέοι, μειώσει καὶ πλεονασμῷ, καὶ εἰ δή τινα ἄλλην μετασκευὴν δέχεται τὰ κῶλα. Τούτων δὲ ἕκαστον ἡ πεῖρα αὐτὴ διδάσκει. Πολλάκις γὰρ τουτὶ τὸ κῶλον τοῦτον μὲν προτεθὲν, ἢ ἐπὶ τούτῳ τεθὲν, εὐστομίαν τινὰ ἐμφαίνει καὶ σεμνότητα· ἑτέραν δέ τινα συζυγίαν λαβὸν, ἄχαρι φαίνεται καὶ ἄσεμνον. Ὃ δὲ λέγω, σαφέστερον ἔσται, εἴ τις αὐτὸ ἐπὶ παραδείγματος ἴδοι. Ἔστι δή τις παρὰ τῷ Θουκυδίδῃ λέξις ἐν τῇ Πλαταιέων δημηγορίᾳ πάνυ χαριέντως συγκειμένη

δὲ post ἑτέρα ab Ald. omissum inter verss. inseritur.

κατ' ἀρχὰς ἔφην, *l.* καλούμενα ante κῶλα omitt. MS., sequentia ita exhibens: ποικιλ. δεομ. καὶ μείζ. πρ. ὥστε οἰκεῖα, idem.

προκατασκευάσαι τε, id. et Ald. προσκατασκευάσαι, Marg. Sequentia hoc modo Ald. excudit: τε εἴπου δέοι. *L.* καὶ εἴπου τι δ. MS. τ. εἴπ. τι δεῖ.

εἰ δὴ τὴν ἄλλην, *l.* vulgatam Ald. habet.

τούτων δὲ ἕκαστα, id. et MS. ἕκαστον, *v.*

μὲν post κῶλον τοῦτον posui, MSum secutus; vulg. post τουτί ponunt.

Digitized by Google

καὶ μεστὴ πάθους, ἦδε· „Ὑμεῖς τε, ὦ Λακεδαιμό-
„νιοι, ἡ μόνη ἐλπὶς, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε.“
Φέρε δή τις λύσας τὴν συζυγίαν ταύτην, μεθαρμο-
σάτω τὰ κῶλα οὕτως ἵνα ᾖ· „Ὑμεῖς τε, ὦ Λακεδαι-
„μόνιοι, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε, ἡ μόνη ἐλπίς.“
Ἆρ' ἔτι μένει, τοῦτον τὸν τρόπον ἡρμοσμένων τῶν
κώλων, ἡ αὐτὴ χάρις, ἢ τὸ αὐτὸ πάθος; Οὐδεὶς
ἂν εἴποι. Τί δαί; εἰ τὴν Δημοσθένους λέξιν ταύ-
την, „Τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον
„εἶναι, τὸ τούτων χάριν ἀποδοῦναι, παρανόμων γρά-
„ψῃ;“ λύσας τις, καὶ μεταθεὶς τὰ κῶλα, τοῦτον
τὸν τρόπον ἐξενέγκαι, „Ὁμολογῶν οὖν ἔννομον εἶναι
„τὸ λαβεῖν τὰ διδόμενα, παρανόμων γράψῃ τὸ τού-
„των χάριν ἀποδοῦναι;“ ἆρ' ὁμοίως ἔσται δικανικὴ
καὶ στρογγύλη; Ἐγὼ μὲν οὐκ οἶομαι.

Ἡμεῖς τε ὦ, MS.

mox ἡμῶν, et porro in sequentibus, idem.

διδιαμέν, idem et Ald.

vulgatam praebet *l.* Margo: „ut est apud Thucydidem.“

ἵνα ᾖ ex *l.* addidi post οὕτως.

ὦ λα λακεδ., Ald. Emendat. in Marg.

διδίαμεν, ut supra, Ald. Emendat. in *l.*

παρὰ νόμον γρ. Marg. παπάνομον γρ., *l.*

εἰ, quod vulg. intrudunt ante λύσας τις eieci ad fidem librorum *v. l.*

iterum παράνομον γρ. Marg.

χάριν ἀποδιδόναι, Ald. vulgatam praebet *l.*

ἆ ῥ' οὖν, Ald. Margo: „γρ. ὁμοίως.“ una cum huius vocabuli nota tachygraphica, a me supra posita.

Digitized by Google

ΤΜΗΜΑ η'.

Τῶν κώλων καὶ λέξεων σχηματισμός.

Ἡ μὲν δὴ περὶ τὴν ἁρμογὴν τῶν κώλων θεωρία τοιαύτη· ἡ δὲ περὶ τὸν σχηματισμὸν ποταπή; Οὐκ ἔστιν εἷς τρόπος τῆς ἐκφορᾶς ἁπάντων τῶν νοημάτων·

Sect. VIII. πρὸς τὴν ἁρμ. MS. ... τῆς ἐκφορᾶς ἁπάντων ὀνομάτων, Marg. προφορᾶς ἁπάντων τῶν ὀνομάτ. MS. ἁπάντων vulg. omitt. Qui factum sit, ut in lectione marginali τῶν evanesceret, non est, quod moneatur; sed obiter periculum faciam loci Plutarchei emendandi. V. Sertor. c. 20. T. IV. p. 28. Hutt. ἀκούσας δ' ὁ Σερτώριος ἐπῄει μάλα φαιδρὸς ἀπ'. ὄψεως ἐπὶ τὸ βῆμα, etc. Cod. Monac. 85. φαιδρῶς. Si quid video, hinc est elicienda vera scriptoris manus: φαιδρὸς ὡς ἀπ' ὄψεως. Verte: vultu ad laetitiam, ut ex somnio nec captum, composito. Contra oscitanter repetitae syllabae terminales passim turbas pepererunt. In Nostri Art. XI. 9. fortasse leg. εἰηθείη ἄν, τις εἰπεῖν, εἰ τις μὴ περιττὰ λέγοι, μήτ' ἐλλείποντα, μήτ' ἐναντία τεχνίτην αὐτὸν εἶναι. Marg. Victor. τεχνίτην τὴν αὐτὸν εἶν. Nam unde vulgaris lectionis τεχν. αὐτὸν, ἢ τὸν αὐτὸν, εἶναι origo explicanda? an verba ἢ τὸν αὐτὸν sunt lectionis varietas marginalis? Ibid. XI. 5. Ἕλλην Θετταλὸς διπλώσας ποίκιλος. Marg. Victor. διπλοῦσαι. Unde ex certissima Sylburgii coniectura reponere διπλοῦς καὶ π. Bentlei. ad Horat. Od. I. 6. 7. „Et sane" inquit „Graecis διπλοῦς ἀνὴρ est, qui aliud loquitur, aliud sentit." quanquam in loco Horatiano reducis scriptum vulg. In Art. VIII. 7. malim, diductis

cf. p. 291.

ἀλλὰ τὰ μὲν ὡς ἀποφαινόμενοι λέγομεν, τὰ δὲ ὡς διαποροῦντες, τὰ δὲ ὡς πυνθανόμενοι, τὰ δὲ ὡς εὐχόμενοι, τὰ δὲ ὡς ἐπιτάττοντες, τὰ δὲ ὡς ὑποτιθέ-

---

verbis: διδάσκει δὲ προελθὼν τοῦ λόγου τὸν τρόπον τῆς παρασκευῆς. Contrario vitio laborat Xenoph. Oecon. XXI. 10. ubi leg. κρατιστεῦσαι: Vulg. κρατίστη οὖσα. Quod Marg. Vict. egregie confirmat κρατιστοῦσαι offerens. Conf. Cyrop. I. 3. 1. Comm. Socr. II. 6. 26. Plutarch. V. Eumen. c. 18. T. IV. p. 66. Conf. vocabulum ἀριστεύειν, Homericum illud. Huc refero Thucydid. II. 89. ὑμεῖς δὲ, εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες, τά τε παραγγελλόμενα ὀξέως δέχεσθε — καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλεῖστον ἡγεῖσθε (ὃ ἐς τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει, καὶ ναυμαχίᾳ οὐχ ἥκιστα.) Vulg. ὥστε τὰ π. κ. τ. λ. v Schaefer. ad Schol. Apoll. Rhod. T. II. p. 299. Contra ibid. IV. 4. in his: μέχρις αὐτοῖς τοῖς στρατιώταις σχολάζουσιν ὁρμὴ ἐνέπεσε περὶ στάσιν ἐκτειχίσαι τὸ χωρίον, dubitatur ab interpp de vi verborum περὶ στάσιν, quod est qui κατὰ στάσιν interpretetur, i. e. per tumultum, repentim, impetu. Hominibus illis per tumultum in mentem venisse urbis expugnandae! Equidem coniunctis vocabulis malim περιστᾶσιν coll. IV. 7. ἀλλ' ὡς κύκλῳ περιστὰς βίῳ αἱρήσων τὴν πόλιν.

ἀλλὰ τὸ μὲν ὡς ἀποφ., Ald. Emendatur in v. l.

λέγομεν, τὰ δὲ, &c.

Sequentia Ald. ita exhibet: τὰ δὲ ὡς πυνθ., τὰ δὲ εὐχόμενοι, τὰ δὲ ὡς ἐπιτ., τὰ δὲ ὡς διαπορ., τὰ δὲ ὡς ὑποτιθ., τὰ δὲ etc. Margo: „fortasse defuit ὡς, ut sit: ὡς εὐχόμενοι, ut in verbis sequentibus." vulgarem ordinem repraesentat MS. nisi quod ὡς διαπορ. post ἐπιτάττ. positā habet.

Digitized by Google

μενοι, τὰ δὲ ἄλλως πως σχηματίζοντες· οἷς ἀκολούθως καὶ τὴν λέξιν πειρώμεθα σχηματίζειν. Πολλοὶ δὲ δήπου σχηματισμοὶ καὶ τῆς λέξεώς εἰσιν, ὥσπερ καὶ τῆς διανοίας· οὓς οὐχ οἷόν τε κεφαλαιωδῶς περιλαβεῖν· ἴσως δὲ καὶ ἄπειροι, περὶ ὧν καὶ πολὺς ὁ λόγος, καὶ βαθεῖα ἡ θεωρία. Οὐ γὰρ δὴ τὸ αὐτὸ δύναται ποιεῖν τὸ αὐτὸ κῶλον οὕτω σχηματισθέν, ἢ οὕτως. Ἐρῶ δὲ ἐπὶ παραδείγματος. Εἰ τοῦτον ἐζήνεγκε τὸν τρόπον ὁ Δημοσθένης τὴν λέξιν ταύτην, „Ταῦτα εἰπὼν ἔγραψα, γράψας δ' „ἐπρέσβευσα, πρεσβεύσας δ' ἔπεισά Θηβαίους," ἆρ' οὕτως ἂν συνέκειτο χαριέντως, ὡς νῦν σύγκειται; „Καὶ οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' „ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα „μέν, οὐκ ἔπεισα δὲ Θηβαίους." Πολὺς ἂν εἴη μοι λόγος, εἰ περὶ πάντων βουλοίμην λέγειν τῶν σχηματισμῶν, ὅσους τὰ κῶλα ἐπιδέχεται. Ἀπόχρη δὲ εἰσαγωγῆς ἕνεκα τοσαῦτα εἰρῆσθαι.

καὶ ante πολὺς ὁ λ., quod vulg. omittunt, *l.*
γὰρ ante δὴ τὸ αὐτὸ inser. MS. Conf. supr. p. 37.
ταῦτα εἶπας ἔγρ., Marg.
οὐκ ἔγραψα δὲ· οὐδ' ἔγραψα μὲν, Ald. Emendat. in Marg.
Ἀπόχρη γὰρ, *l.*

Digitized by Google

ΤΜΗΜΑ 9'.

Τῶν κώλων μετασκευή.

Ἀλλὰ μὴν ὅτι γε καὶ μετασκευὰς δέχεται τῶν κώλων ἔνια, τοτὲ μὲν προσθήκας λαμβάνοντα οὐκ ἀναγκαίας ὡς πρὸς τὸν νοῦν, τοτὲ δὲ ἀφαιρέσεις ἀτελῆ ποιούσας τὴν διάνοιαν· ἃς οὐκ ἄλλου τινὸς ἕνεκα ποιοῦσι ποιηταί τε καὶ συγγραφεῖς, ἢ τῆς ἁρμονίας, ἵνα ἡδεῖα καὶ καλὴ γένηται· πάνυ ὀλίγου δεῖν οἶομαι λόγου. Τίς γὰρ οὐκ ἂν ὁμολογήσαι, τήνδε τὴν λέξιν, ἣν ὁ Δημοσθένης εἶρηκε, προσθήκη πλεονάζειν οὐκ ἀναγκαία τῆς ἁρμονίας ἕνεκα; „Ὁ γὰρ οἷς ἂν ἐγὼ „ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, „οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ." Ἔνταῦθα γὰρ οὐχὶ τοῦ ἀναγκαίου χάριν προσκειται τὸ· „μηδὲ τοξεύῃ," ἀλλ' ἵνα τὸ τελευταῖον κῶλον

Sect. IX. καὶ καλὴ γένηται, Marg. quod recipiendum esse duxi pro vulg. γένοιτο.

τίς γ. οὐκ ἂν ὁμολογήσαι τήνδ. μὲν τ. λ., *l.*

Verba ἔνταῦθα γὰρ — — προσκειται τοξεύειν, (ita enim Marg.) ἀλλ' ἵνα — — τραχύτερον, emendata vulgatis edd. adieci ex *l.* MS. hunc locum ita exhibet: τίς γὰρ ἂν οὐκ ὁμολογήσειε μὲν τῷ τοῦ Δημοσθένους τῷ· „ὁ γὰρ οἷς — — μηδὲ τοξεύῃ", οὐχὶ τοῦ ἀναγκαίου χάριν προσκεῖσθαι τὸ· „μηδὲ τοξεύῃ", ἀλλ' ἵνα τὸ τελευταῖον κῶλον, τὸ· „κἂν μήπω βάλλῃ", τραχύτερον τοῦ δέοντ. ὄν. etc. Ald. ὁμολογήσαι. τήνδ. idem: βραχυτέρα τοῦ. Vulg. βραχύτερον τ.

Digitized by Google

τὸ „κἂν μήπω βάλλῃ," τραχύτερον τοῦ δέοντός ὂν καὶ οὐχ ἡδὺ ἀκουσθῆναι, τῇ προσθήκῃ ταύτῃ γένηται χαριέστερον. Καὶ ἔτι τὴν Πλατωνικὴν ἐκείνην περίοδον, ἣν ἐν τῷ ἐπιταφίῳ ὁ ἀνὴρ γράφει, τίς οὐκ ἂν φαίη παραπληρώματι λέξεως οὐκ ἀναγκαίῳ προσηρανίσθαι; „Ἔργων γὰρ εὖ πραχθέντων λόγῳ „καλῶς ῥηθέντι μνήμη καὶ κόσμος γίνεται τοῖς πράξα„σι παρὰ τῶν ἀκουσάντων." Ἐνταῦθα γὰρ τὸ „παρὰ τῶν ἀκουσάντων," πρὸς οὐδὲν ἀναγκαῖον λέγεται, ἀλλ' ἵνα τὸ τελευταῖαν κῶλον τὸ, „τοῖς πράξασι," πάρισόν τε καὶ ἐφάμιλλον τοῖς πρὸ αὐτοῦ γένηται. Τί δὲ δή; τὸ παρ' Αἰσχίνῃ λεγόμενον τουτὶ,

---

γένηται ante χαριέστερον ex MSo. recepi. Vulg. γεγένηται. Paullo infr. item praesens occurrit.

Verba: ἐνταῦθα (Marg.: ἐνταυθοῖ.) γὰρ τὸ· „παρὰ τῶν ἀκουσάντων" adieci ex *l.* Totam sententiam hoc modo in MSo. legas: καὶ ἔτι ἐν τῷ Ἐπιταφίῳ τοῦ Πλάτωνος, ἔνθα φησὶν· „Ἔργων — — ἀκουσάντων." ἐνταῦθα γὰρ τὸ· „παρὰ τῶν ἀκ." παραπλήρωμα τῆς λέξεως πρὸς οὐδὲν ἀναγκαῖον λέγεται, ἀλλ' ἵνα τὸ τε τελ. etc. Occasionem nactus suppleo alium Nostri locum in Art. Rhet. V. 6. καὶ ὑπὲρ ἡμῶν δ' αὐτῶν πάλιν — — περὶ αὐτῶν εἰπόντες, εἰς τοῦτο καταλύσομεν τὸν λόγον, ὡς ἐλπίδος τι καὶ αὐτοὶ ἔχοντες, τὸ (num τοῦ;) μὴ φυλαχθήσεσθαι μόνον ἐπὶ — — τὸ λοιπὸν ἔσεσθαι. Ita Marg. Victor.

Verbi γίνεται ante τοῖς πράξασι Marg. habet notam tachygraphicam: χ.

Digitized by Google

„Ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ „τὴν δημοκρατίαν καλεῖς,“ τρίκωλόν ἐν τοῖς πάνυ ἐπαινούμενον, οὐχὶ τῆς αὐτῆς ἰδέας ἔχεται; Ὁ γὰρ οἷόν τε ἦν ἐνὶ κώλῳ περιληφθῆναι τόνδε τὸν τρόπον, „Ἐπὶ σαυτὸν καὶ τοὺς νόμους καὶ τὴν δημο„κρατίαν καλεῖς,“ τοῦτο εἰς τρία διήρηται, τῆς αὐτῆς λέξεως, οὐ τοῦ ἀναγκαίου ἕνεκα, τοῦ δὲ ἡδίω ποιῆσαι τὴν ἁρμονίαν, πολλάκις τεθείσης· καὶ πρόσεστι πάθος τῷ λόγῳ.

Τῆς μὲν δὴ προσθέσεως, ἣ γίνεται τοῖς κώλοις, οὗτος ὁ τρόπος· τῆς δὲ ἀφαιρέσεως τίς; Ὅταν τῶν ἀναγκαίων τι λέγεσθαι λυπεῖν μέλλῃ καὶ διοχλεῖν τὴν ἀκρόασιν, ἀφαιρεθὲν δὲ χαριεστέραν ποιῇ τὴν ἁρμονίαν. Οἷάπερ ἐστὶν ἐν μὲν τοῖς μέτροις τὰ Σοφόκλεια ταυτί· cf. p. 291.

ἐπὶ σαυτὸν καλεῖς, item infr. MS.

ἐν τοῖς πάνυ ἐπαινουμένοις, *l.* perperam.

οὐχὶ ante τῆς αὐτῆς omitt. MS.

ἐπὶ σαυτὸν καὶ τοὺς, Ald. καλεῖ, id. Corrigit. in Marg.

ἡδεῖαν ποιῆσαι, *l.*

τῆς μὲν δὲ προσθ., Ald. Emendat. in Marg.

ἣ γράφεται, Ald. Margo: „γρ. γίνεται.“ una cum nota tachygraphica modo memorata.

τίς δὲ; ὅταν, Ald. lineola damnatur δὲ.

τι λεχθῆναι, MS.

χαριεστέραν ποιεῖ, Ald.

τὴν ἁρμονίαν, Marg. et MS. vulg τ. ἡρμηνείαν.

οἷα ἐστὶν, MS.

μὲν post ἐν adiecit ex au-

Digitized by Google

Μύω τε καὶ δέδορκα, κἀξανίσταμαι,
Πλεῖον φυλάσσων αὐτὸς, ἢ φυλάσσομαι.

Ἐνταῦθα γὰρ ὁ δεύτερος στίχος ἐκ δυοῖν σύγκειται κώλων οὐχ ὅλων. Τελεία γὰρ ἂν ἡ λέξις ἦν οὕτως ἐξενεχθεῖσα· „Πλεῖον φυλάσσων αὐτὸς ἑτέρους, ἢ φυλασσόμενος „ὑφ' ἑτέρων“· τὸ δὲ μέτρον ἠδικεῖτο, καὶ οὐκ ἂν ἔσχεν ἣν νυνὶ χάριν ἔχει. Ἐν δὲ τοῖς πεζοῖς λόγοις τὰ τοιαῦτα· „Ἐγὼ δ' ὅτι μέν τινων κατηγοροῦντα, πάντας „ἀφαιρεῖσθαι τὴν ἀτέλειαν, „τῶν ἀδίκων ἐστὶν, ἐάσω.“ Μεμείωται γὰρ κἀνταῦθα τῶν πρώτων δυοῖν κώλων ἑκάτερου· αὐτοτελὴ δ' ἂν ἦν, εἴ τις αὐτὰ οὕτως ἐξήνεγκεν· „Ἐγὼ δ' ὅτι μέν

---

ctoritate MSi. Aldinae inter versus adiecta est haec particula.

καὶ ξυνίσταμαι, Ald. Emendat. in *l.*

Verba: *ἢ φυλάσσομαι — — φυλάσσων. αὐτὸς* absunt ab Aldin. supplentur in *l.* cum hac varietate: *ἐνταυθοῖ*, mox *δυοῖν*, quae eadem MS. praebet.

Ex eodem et Marg. adiecti: *οὐχ ὅλων*, vulg. omissa, verum ad sensum maxime necessaria.

πλεῖον ante *φυλάσσων*, Marg. et MS. vulgo *πλέον*.

ὑφ' ἑτέρου, Ald. Emendat. in *l.*

ἠδικεῖτο excudendum curavi pro vulgat. *ἠδικῆτο*, ex MSo. et *l.*

τοῖς ante *πεζοῖς* ab Ald. omissum adiecit Marg.

ἀφαιρεῖσθαι τὴν ἀωρέαν, MS.

πρώτων ante *δυοῖν κώλων* reposui ex Aldin. et MSo.

ἀτελῆ ὅ' ἂν ἦν, *l.*

εἴ τις αὐτὰ, MS. vulg. *εἰ ταῦτα*.

Digitized by Google

„τινων κατηγοροῦντα, ὡς οὐκ ἐπιτήδειοι ἔχειν τὴν „ἀτέλειαν, πάντας ἀφαιρεῖσθαι καὶ τοὺς δικαίως αὐ„τῆς τυχόντας, τῶν ἀδίκων ἐστὶν, ἐάσω.“ Ἀλλ' οὐκ ἐδόκει τῷ Δημοσθένει πλείονα ποιεῖσθαι πρόνοιαν τῆς ἀκριβείας τῶν κώλων, ἢ τῆς εὐρυθμίας.

Τὰ δ' αὐτὰ εἰρήσθω μοι περὶ τῶν καλουμένων περιόδων. Καὶ γὰρ ταύτας χρὴ τὰς τε προηγουμένας καὶ τὰς ταύταις ἑπομένας οἰκείως συναρμόττειν, ὅταν ἐν περιόδοις προσήκῃ τὸν λόγον ἐκφέρειν· οὐ γὰρ δὴ πανταχῇ γε τὸ ἐμπερίοδον χρήσιμον. Καὶ αὐτὸ δὲ τοῦτο τὸ θεώρημα τῆς συνθετικῆς ἐπιστήμης ἴδιον, πότε δεῖ χρῆσθαι περιόδοις, καὶ μέχρι πόσου, καὶ πότε μή.

ὡς οὐκ ἐπιτήδειοι, MS. et *l.* vulg. ἐπιτηδείων.

ἀλλ' οὐκ ἔδωκε, MS.

ποιεῖσθαι πρόνοιαν, Marg. et MS. vulg. λόγον: conf. p. 404.

τὰ δ' αὐτὰ εἰρήσθω, MS. et *l.* Vulg. ταὐτὰ δ' εἰρήσθω. ex *v.* memoratur: δ' εἰρῆσθαι, ex *l.* ταῦτα.

καὶ γὰρ τὰς τε προηγουμένας καὶ τὰς ἑπομένας οἰκ., *l.* καὶ γὰρ ταύτας χρὴ ταῖς τε προηγουμένοις κ. ταῖς ταύταις ἑπομένοις οἰκ. MS. Eadem est vulgaris lectio, nisi quod pro ταύτας χρ. in hac est: ταύταις χρ.

ταῖς, quod vulg. ante περιόδοις addunt, omisi, MSum secutus, et δὴ post οὐ γὰρ interposui ex eodem et *v.* οὐ γὰρ ἤδη, *l.*

χρῆσθαι περιόδῳ, idem.

μὴ post πότε ab Ald. omissum ex eodem libr. suppletur.

Digitized by Google

ΤΜΗΜΑ i.

Τίνων στοχαστέον τῷ τὴν λέξιν εὖ συντιθέναι βουλομένῳ.

Διωρισμένων δή μοι τούτων, ἀκόλουθον ἂν εἴη λέγειν, τίνα ἐστὶν, ὧν δεῖ στοχάζεσθαι τὸν βουλόμενον συντιθέναι τὴν λέξιν εὖ, καὶ διὰ τίνων θεωρημάτων τυγχάνοί τις ἂν ὧν βούλεται. Δοκεῖ δή μοι δύο ταῦτα εἶναι γενικώτατα, ὧν ἐφίεσθαι δεῖ τοὺς συντιθέντας [εὖ] μέτρα τε καὶ λόγους, ἥ τε ἡδονὴ καὶ τὸ καλόν. Ἀμφότερα γὰρ ἐπιζητεῖ ταῦτα ἡ ἀκοὴ, ὅμοιόν τι πάσχουσα τῇ ὁράσει. Καὶ γὰρ ἐκείνη πλάσματα, καὶ γραφὰς, καὶ γλυφὰς, καὶ ὅσα δημιουργήματα χειρῶν ἀνθρωπίνων ἐστὶν, ὁρῶσα, ὅταν εὑρίσκῃ τὰ σ' ἡδὺ ἐνὸν αὐτοῖς καὶ τὸ καλὸν, ἀρκεῖται, καὶ οὐδὲν ἔτι πρόσθεν. Καὶ μὴ παράδοξον

Sect. X. ὡρισμένων δὴ (MS. δὲ.) Ald. vulgatam praebet *l.*

τὸ, quod vulg. ante λέγειν, omittit MS. inter versus adscriptum; „abest ab *l.*"

τυγχάνοι τις, Ald.

ὧν ἂν βούληται, MS.

δοκεῖ δή μοι, MS. et *v. l.* vulg. δ. δέ μοι.

εἶναι γενικώτατα, MS. et *l.* vulg. εἶν. τελικώτατα. conf. p. 16. ubi v. Schaefer.

εὖ ante μέτρα uncis includendum euravi, utpote otiosum, et ab Ald. nec non in MSo. omissum.

ἐστὶν ante ὁρῶσα inserui ex *l.*

Digitized by Google

ἡγήσηταί τις, εἰ δύο ποιῶ τέλη, καὶ χωρίζω τὸ καλὸν ἀπὸ τῆς ἡδονῆς· μηδὲ ἄτοπον εἶναι νομίσῃ, εἴ τινα ἡγοῦμαι λέξιν ἡδέως μὲν συγκεῖσθαι, μὴ καλῶς δέ· ἢ καλῶς μέν, οὐ μὴν ἡδέως γε. Φέρει γὰρ ἡ ἀλήθεια τὸ τοιοῦτο, καὶ οὐδὲν ἀξιῶ καινόν. Ἡ γάρ τοι Θουκυδίδου λέξις, καὶ ἡ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, καλῶς μὲν σύγκειται, νὴ Δία, εἴπερ τινὲς καὶ ἄλλαι, καὶ οὐκ ἄν τις αὐτὰς ἔχοι μέμψασθαι κατὰ τοῦτο, οὐ μὴν ἡδέως γε πάνυ· ἡ δέ γε τοῦ Κνιδίου συγγραφέως Κτησίου, καὶ ἡ τοῦ Σωκρατικοῦ Ξενοφῶντος, ἡδέως μέν, ὡς ἔνι μάλιστα, οὐ μὴν καλῶς γε, ἐφ' ὅσον ἔδει. Λέγω δὲ κομψότερον, ἀλλ' οὐχὶ καθαπαξ· ἐπεὶ καὶ παρ' ἐκείνοις ἥρμοσταί τινα ἡδέως, ὡς καὶ παρὰ τούτοις καλῶς. Ἡ δὲ Ἡροδότου σύνθεσις ἀμφότερα ταῦτα ἔχει· καὶ γὰρ ἡδεῖά ἐστι καὶ καλή...

ἡγήσατό τις, *l.* ἡγήσηταί τις, Ald. vulgatam habet *v.*

οὐ μὴν ἡδέως γε, Marg. οὐ μὴν καὶ ἡδέως. Φ., vulg. conf. infr. οὐ μὴν καλῶς γε, et οὐ μὴν ἡδέως γε. v. Sylburg. ad h. l.

ἡ γέ τοι Θουκ., Marg. ἡ δέ τοι Θ., Ald.

ἡ ante Ἀντιφῶντος omitt. MS.

Verba καὶ οὐκ ἄν τις — κατὰ τοῦτο adieci vulgatis edd. ex *l.* conf. p. 242.

συγγραφέως omitt. MS.

οὐ μὲν καλῶς γε, id.

κ. γ' ἐφ' ὅσ., Ald.

ἐπεὶ κἀκείνοις, Ald.

ὡς ante καὶ παρὰ τούτ. adieci ex MSo. Aldinae inter versus adscripsit P. Victor.

Digitized by Google

ΤΜΗΜΑ ιά.

Ἡδεῖαν καὶ καλὴν τὴν λέξιν τίνα ποιεῖ.

Ἐξ ὧν δὲ οἶομαι γενήσεσθαι λέξιν ἡδεῖαν καὶ καλήν, τέτταρά ἐστι τὰ κυριώτατα ταῦτα καὶ κράτιστα, μέλος, καὶ ῥυθμὸς, καὶ μεταβολὴ, καὶ τὸ παρακολουθοῦν τοῖς τρισὶ τούτοις τὸ πρέπον. Τάττω δὲ ὑπὸ μὲν τὴν ἡδονὴν, τήν τε ὥραν, καὶ τὴν χάριν, καὶ τὴν εὐστομίαν, καὶ τὴν γλυκύτητα, καὶ τὸ πιθανὸν, καὶ πάντα τὰ τοιαῦτα· ὑπὸ δὲ τὸ καλὸν, τήν τε μεγαλοπρέπειαν, καὶ τὸ βάρος, καὶ τὴν σεμνολογίαν, καὶ τὸ ἀξίωμα, καὶ τὸ πιθανὸν, καὶ τὰ τούτοις ὅμοια. Ταυτὶ γάρ μοι δοκεῖ κυριώτατα εἶναι, καὶ ὥσπερεὶ κεφάλαια τῶν ἄλλων ἐν

Sect. XI. οἶμαι γενέσθαι λέξ. *l.* et MS.

μέλλος, Ald. Emendat. in Marg.

τὸ ante πρέπον inserui MSum secutus.

τήν τε ex *l.* dedi et MSo. Vulg. τε omitt.

eandem voculam ex MSo. adieci ante μεγαλοπρέπειαν.

„τὸ πιθανὸν jam tributum fuit suavitati. Num ergo: τὸ παθητικὸν, *affectus ciens?*" Reisk. „Hic quidem verba ista malim uncis includere, quam supra cum Wolfio. Recte enim τὸ πιθανὸν referas ad τὴν ἡδονήν, quam Rhetor dicit: vix recte ad eius τὸ καλὸν." Schaefer. Nota, etiam in Cod. Monac. 456. f. 259. hunc locum, ut vulgo, legi.

Digitized by Google

ἑκατέρῳ. Ὧν μὲν οὖν στοχάζονται πάντες οἱ σπουδῇ γράφοντες μέτρον, ἢ μέλος, ἢ τὴν λεγομένην πεζὴν λέξιν, ταῦτ' ἐστί· καὶ οὐκ οἶδα, εἴ τι παρὰ ταῦθ' ἕτερον. Οἱ δὲ πρωτεύσαντες ἐν ἑκατέρῳ τε τούτων καὶ ἐν ἀμφοτέροις, πολλοί τε καὶ ἀγαθοὶ ἄνδρες. Παραδείγματα δὲ αὐτῶν ἑκάστου φέρειν ἐν τῷ παρόντι οὐκ ἐγχωρεῖ, ἵνα μὴ περὶ ταῦτα κατατρίψω τὸν λόγον· καὶ ἅμα εἴ τι λεχθῆναι περί τινος αὐτῶν καθήκει, καὶ δεήσει που μαρτυριῶν, ἕτερος αὐτοῖς ἔσται καιρὸς ἐπιτηδειότερος, ἅταν τοὺς χαρακτῆρας τῶν ἁρμονιῶν ὑπογράφω. Νυνὶ δὲ ταῦτα εἰρῆσθαι περὶ αὐτῶν ἀπόχρη. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὰς διαιρέσεις, ἃς ἐποιησάμην, τῆς θ' ἡδείας συνθέσεως καὶ τῆς καλῆς, ἵνα μοι καθ' ὁδόν, ὥς φασι, χωρῇ ὁ λόγος.

ὥσπερ κεφάλαια, *l.* ὡς ὕπερ κ., Marg.

τούτων post ἑκατέρῳ τε dedi ex *l.*

παραδ. δ. ἑ. καθ' ἕκαστον Φ. οὐκ ἐγχωρεῖ, ἵνα, Ald. παρ. δ. αὐτῶν ἑκάστου Φ. ἐν τῷ παρόντι οὐκ ἐγχ., *l.* αὐτὴν pro αὐτῶν, v. παραδείγματι, idem. π. δ. ἀμφοῖν καθ' ἑκάστους Φ. etc. vulg.

καὶ ἅμα, καὶ εἴτι, v. καὶ ἅμα εἴ τινα, *l.*

καιρὸς ἐπιτήδειος, *l.*

νυνὶ pro vulg. νῦν, idem; quod recepi.

ἀνειμι δὲ, idem. conf. p. 84.

καὶ ante κατ' ὁδὸν, *l.*

Digitized by Google

Ἔφην δὲ, τὴν ἀκοὴν ἥδεσθαι πρώτοις μὲν τοῖς μέλεσιν· ἔπειτα τοῖς ῥυθμοῖς· τρίτον ταῖς μεταβολαῖς, ἐπὶ δὲ τούτοις ἅπασι τῷ πρέποντι. Ὅτι δὲ ἀληθῆ λέγω, τὴν πεῖραν αὐτὴν παρέξεσθαι μάρτυρα, ἣν οὐχ οἷόν τε διαβάλλειν τοῖς κοινοῖς πάθεσιν ὁμολογουμένην. Τίς γάρ ἐστιν, ὃς οὐχ ὑπὸ μὲν ταύτης τῆς μελῳδίας ἄγεται καὶ γοητεύεται, ὑφ' ἑτέρας δέ τινος οὐδὲν πάσχει τοιοῦτον; καὶ ὑπὸ μὲν τούτων τῶν ῥυθμῶν οἰκειοῦται, ὑπὸ δὲ τούτων διοχλεῖται; Ἤδη δ' ἔγωγε καὶ ἐν τοῖς πολυανθρωποτάτοις θεάτροις, ἃ συμπληροῖ παντοδαπὸς καὶ ἄμουσος ὄχλος, ἔδοξα καταμαθεῖν, ὡς φυσική τις ἐστὶν ἁπάντων ἡμῶν οἰκειότης πρὸς εὐμέλειάν τε καὶ εὐρυθμίαν, κιθαριστήν τε ἀγαθὸν, σφόδρα εὐδοκιμοῦντα, ἰδὼν θορυβηθέντα ὑπὸ τοῦ πλήθους, ὅτι μίαν χορδὴν ἀσύμφωνον ἔκρουσε, καὶ ἔφθειρε τὸ μέλος, καὶ αὐλητὴν, ἀπὸ τῆς ἄκρας ἕξεως χρώμενον τοῖς ὀργάνοις, τὸ αὐτὸ τοῦτο παθόντα, ὅτι ἢ σομφὸν ἐμπνεύσας,

---

ἐν δὲ τούτοις ἅπασι, idem.
παρέξω μάρτυρα, Marg.
τῶν ῥυθμῶν τούτων, verso ordine, MS.
ὑπὸ τούτων δὲ, idem.
ἴδον θορυβ., *l.*
διέφθειρα τὸ μ., id.
κατὰ τὰς ἄκρ., Ald. ἀπὸ τῆς ἄκρ., *v. l.* μετὰ τῆς ἄκρ. vulg. conf. p. 410. 414.
τὸ αὐτὸ pro vulg. καὶ αὐτὸ dedi ex *l.*

Digitized by Google

ἢ μὴ πιέσας τὸ στόμα, θρυλιγμὸν ἢ τὴν καλουμένην ἐμμέλειαν ηὔλησε. Καίτοι γε εἴ τις κελεύσειε τὸν ἰδιώτην τούτων τι, ὧν ἐγκάλει τοῖς τεχνίταις ὡς ἡμαρτημένων, αὐτὸν ποιῆσαι λαβόντα τὰ ὄργανα, οὐκ ἂν δύναιτο. Τί δή ποτε; ὅτι τοῦτο μὲν ἐπιστήμης ἐστὶν, ἧς οὐ πάντες μετειλήφαμεν· ἐκεῖνο δὲ πάθος, ὃ πᾶσιν ἀπέδωκεν ἡ Φύσις. Τὸ δὲ αὐτὸ καὶ

p. 291.

ἀσύμφονον ἐμπνεύσας, Ald. Emendatur a Petr. Victor. ut vulgo legitur: ἀσύμφωνου. *l.* praebet σομφὸν, ἢ ante hanc vocem de meo dedi, unde verisimile est, syllabam α in ἀσύμφωνον ortam esse. Σαμφὸν φθέγγεται laudatur ab H. Stephano Thesaur. L. Gr. vertente: *obscure loquitur*, ex Hippocrate (d. Morbis II. p. 147. 19.) Aristotel. Topic. I. 13. 6. T. I. p. 270. Duval. ἔτι καὶ ἐπὶ τῶν ἀνὰ μέσον, εἰ τῶν μὲν ἐστί τι ἀνὰ μέσον, τῶν δὲ μηδέν, ἢ εἰ ἀμφοῖν μέν ἐστι, μὴ ταὐτὸν δὲ. οἷον, λευκοῦ καὶ μέλανος, ἐν χρώμασι μὲν τὸ φαιὸν, ἐν φωνῇ δὲ σύδεν, ἢ εἰ ἆρα τὸ σομφὸν, καθάπερ τινές φασι, σομφὴν φωνὴν ἀνὰ μέσον εἶναι, ὥφ' ὁμώνυμον τὸ λευκὸν· ὁμοίως δὲ καὶ τὸ μέλαν. Voci θρυλυγμὸς cognatam θρύλλος Phavorinus exponit: ψιθυρισμὸς, ὁμιλία μὴ φανερῶς γενομένη. Foësius Oeconom. Hippocrat. s. v. σομφὸς: „τὸ φαιὸν ἐπὶ χρωμάτων λέγεται σομφὸν παρέτισι, τὸ μεταξὺ λευκοῦ καὶ μέλανος δηλονότι (ut scribit Gaza.) fuscus- color obscurus est, et abolitis extremis ex albo et nigro mixtus.“

ἐμμέλειαν ηὔλησε, Ald. Emendat. in *v. l.*

γε post καίτοι inserui, quod Victor. adiecit inter versus Aldinae.

ὧν ἐγκάλει, Marg. vulg. ἐνεκάλει.

πάθος, ὃ πᾶσιν, idem. vulg. πάθους ὃ π.

Digitized by Google

ἐπὶ τῶν ῥυθμῶν γινόμενον ἐθεασάμην, ἅμα πάντας ἀγανακτοῦντας καὶ δυσαρεστουμένους, ὅτε τις ἢ κροῦσιν, ἢ κίνησιν, ἢ μορφὴν, ἐν ἀσυμμέτροις ποιήσαιτο χρόνοις, καὶ τοὺς ῥυθμοὺς ἀφανίσειεν. Καὶ οὐχὶ τὰ μὲν εὐμελῆ καὶ εὔρυθμα ἡδονῆς μεστά ἐστι, καὶ πάντες ὑπ' αὐτῶν κηλούμεθα· αἱ μεταβολαὶ δὲ καὶ τὸ πρέπον οὐκ ἔχουσι τὴν αὐτὴν ὥραν καὶ χάριν, οὐδ' ὑπὸ πάντων ὁμοίως διακούονται· ἀλλὰ κἀκεῖνα πάνυ κηλεῖ πάντας ἡμᾶς κατορθούμενα, καὶ εἰς πολλὴν ὄχλησιν ἄγει ἁμαρτανόμενα. Τίς γὰρ οὐκ ἂν

---

p. 292. κίνησιν, ἢ μορφὴν, *l.* vulg. κ. ἢ φωνὴν. Vocabulum μορφὴ sensu simili iam Homero cognitum, Odyss. XI. 367. σοὶ δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί. Eustath. ad h. l. p. 1691, 10. ed. Rom. τὸ δὲ ἔπι μὲν μορφὴ ἐπέων γράφεται καὶ ἔνι μὲν μορφὴ ἐπέων, ὅ ἐστι κάλλος ἢ πιθανότης ἐπέων. Schol. minor: μορφὴ· εὐτρέπεια. Hesych. Μορφύνει· καλλωπίζει, κοσμεῖ. E Nostro T. V. p. 446. Reisk. laudant: ἐν εὐπορίᾳ καὶ τρυφῇ καὶ μορφῇ πλείονι διῆγε, ubi de arte oratoria recentiori verba facit scriptor.

τὰ μὲν ἐμμελῆ, et ἡδονῆς ἀγωγὰ, *l.*

πάντων οὖν, Ald. Margo: „γρ. ὁμοίως." una cum nota huius vocis tachygraphica.

διοικοῦνται· ἀλλὰ. Ald.

κἀκεῖνο πάντα, Ald. Emendat. in *v. l.*

Sequentia Marg. ex *l.* ita exhibet: ἄγει διαμαρτανόμενα τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν ὅτι, etc. neque secus MS. praeterquam quod ἁμαρτανόμενα habet.

Verba: τίς — ὁμολογήσειεν desunt Aldinae. Uncis inclusi verba τεκμ. δὲ, in MSo et Marg. omissa.

Digitized by Google

ὁμολογήσειεν [Τεκμαίρομαι δὲ,] ὅτι καὶ τῆς ὀργανικῆς μούσης, καὶ τῆς ἐν ᾠδαῖς γοητείας, καὶ τῆς ἐν ὀρχήσει χάριτος ἐν ἅπασι μὲν διευστοχούσης, μεταβολὰς δὲ μὴ ποιησαμένης εὐκαίρους, ἢ τοῦ πρέποντος ἀποπλανηθείσης. βαρὺς μὲν ὁ κόρος, ἀηδὲς δὲ τὸ μὴ τοῖς ὑποκειμένοις ἁρμόττον φαίνεται. Καὶ οὐκ ἀλλοτρίᾳ χέχρημαι τοῦ πράγματος εἰκόνι. Μουσικὴ γάρ τις ἦν καὶ ἡ τῶν πολιτικῶν λόγων ἐπιστήμη, τῷ ποσῷ διαλλάττουσα τῆς ἐν ᾠδαῖς καὶ ὀργάνοις, οὐχὶ τῷ ποιῷ. Καὶ γὰρ ἐν ταύτῃ καὶ μέλος ἔχουσιν αἱ λέξεις, καὶ ῥυθμὸν, καὶ μεταβολὴν, καὶ πρέπον. Ὥστε καὶ ἐπὶ ταύτης ἡ ἀκοὴ τέρπεται μὲν τοῖς μέλεσιν, ἄγεται δὲ τοῖς ῥυθμοῖς, ἀσπάζεται δὲ τὰς μεταβολὰς, φυθεῖ δ' ἐπὶ πάντων τὸ οἰκεῖον· ἡ δὲ διαλλαγὴ κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον.

Διαλέκτου μὲν οὖν μέλος ἐνὶ μετρεῖται διαστή-

τῆς ἐν ᾠδῇ καὶ τῆς ἐν ὀρχήσει χάριτος, MS. et l.

μὲν post ἅπασι addidi ex MSo.

καὶ ποιησαμένης, Ald. Emendat. in Marg.

τῷ μὴ τοῖς et ἁρμόττων, MS.

Φαίνεται pro vulgat. ἐφάνη recepi ex l. at in MSo est Φαίνεσθαι.

τῆς ἐν ᾠδῇ, ἔ.

οὐχὶ τῷ ποιῷ absunt a MSo.

λέξεις καὶ ῥυθμοὺς, l. et MS. μεταβολὴν καὶ ῥυθμὸν, verso ordine, Ald. ordinem vulgarem numeris indicavit P. Victor.

καὶ τὸ ἧττον dedi ex MSo. vulg. articulus deest.

ab eodem οὖν ante μέλος abest.

Digitized by Google

ματι τῷ λεγομένῳ διὰ πέντε, ὡς ἔγγιστα· καὶ οὔτε ἐπιτείνεται πέρα τῶν τριῶν τόνων καὶ ἡμιτονίου ἐπὶ τὸ ὀξὺ, οὔτε ἀνίεται τοῦ χωρίου τούτου πλεῖον ἐπὶ τὸ βαρύ. Οὐ μὴν ἅπασά γε ἡ λέξις ἡ καθ' ἓν μόριον λόγου ταττομένη, ἐπὶ τῆς αὐτῆς λέγεται τάσεως· ἀλλ' ἡ μὲν ἐπὶ τῆς ὀξείας, ἡ δὲ ἐπὶ τῆς βαρείας, ἡ δὲ ἐπ' ἀμφοῖν. Τῶν δὲ ἀμφοτέρας τὰς τάσεις ἐχουσῶν αἱ μὲν κατὰ μίαν συλλαβὴν συνεφθαρμένον ἔχουσι τῷ ὀξεῖ τὸ βαρὺ, ἃς δὴ περισπωμένας καλοῦμεν· αἱ δὲ ἐν ἑτέρᾳ τε καὶ ἑτέρᾳ χωρὶς ἑκάτερον, ἐφ' ἑαυτοῦ τὴν οἰκείαν φυλάττον φύσιν. Καὶ ταῖς μὲν δισυλλάβοις οὐδὲν τὸ διὰ μέσου χωρίον βαρύτη-

---

τῶν λεγομένων διὰ, Ald. Emendat. in *l.*

ὡς ἔγγυστα, Ald.

Verba: καὶ οὔτε — ἐπὶ τὸ ὀξὺ „absunt ab R. negligentia librarii.“ Marg.

Super vocabulis ἐπιτείνεται πέρα litera *l.* est adpicta. παρὰ τῶν τριῶν τόν. Marg.

τόνων Aldinae deest.

καὶ ἡμιτόνιον ἐπὶ τ. ὀξ., ead. ed. Emendat. in *l.* τῶν ante τριῶν omitt. MS.

πλέον ἐπὶ, MS.

γε ἡ post ἅπασα omitt. id.

ἐπὶ ante τῆς αὐτῆς ab Ald. et ceteris ante Schaeferum omissum suppletur in *l.*

αἱ δὲ ἐπ' ἀμφ. MS. itaque inter vers. Aldinae correctum est.

τῶν δὲ ἀμφοτέρων τ. τάσ., Ald. Emendat. in *l.*

συλλ. συνδιεφθαρμένον, *l. p.* 292.

αἱ δὲ ἐν ἕτεραι τε καὶ ἕτεραί, Ald. ἐν ἑτέρᾳ τε κ. ἑτέρᾳ, *l.* et MS. vulg. αἱ δ. ἐν ἑτέρῳ — ἑτέρῳ.

ἐφ' ἑαυτοῦ omittit MS.

φυλάττοντα φύσιν, Ald. Emendatur in *l.*

Digitized by Google

τός τε καὶ ὀξύτητος· ταῖς δὲ πολυσυλλάβοις, ἡλίκαι ποτ' ἂν ὦσιν, ἡ τὸν ὀξὺν τόνον ἔχουσα μία ἐν πολλαῖς ταῖς ἄλλαις βαρείαις ἔνεστιν. Ἡ δὲ ὀργανικὴ τε καὶ ᾠδικὴ μοῦσα διαστήμασί τε χρῆται πλείοσιν, οὐ τῷ διὰ πέντε μόνον, ἀλλ' ἀπὸ τοῦ διὰ πασῶν ἀρξαμένη, καὶ τὸ διὰ πέντε μελῳδεῖ, καὶ τὸ διὰ τεσσάρων, καὶ τὸ διάτονον, καὶ τὸ ἡμιτόνιον,
p. 292. ὡς δέ τινες οἴονται, καὶ τὴν δίεσιν αἰσθητῶς· τάς τε λέξεις τοῖς μέλεσιν ὑποτάττειν ἀξιοῖ, καὶ οὐ τὰ μέλη ταῖς λέξεσιν, ὡς ἐξ ἄλλων τε πολλῶν δῆλον, καὶ μαλιστα ἐκ τῶν Εὐριπίδου μελῶν, ἃ πεποίηκε τὴν Ἠλέκτραν λέγουσαν ἐν Ὀρέστῃ πρὸς τὸν χορόν·

Verba: οὐδὲν τὰ διὰ — — πολυσυλλάβοις ab Aldo omissa supplentur ex *l. v.* πολυτρισυλλάβοις εἰ καὶ ποτε ἡλικ' ἂν ὦσ., *l.* εἰ καί ποτ' ἄν, Ald. πολυσ. ἡλίκαι ἂν ὦσιν, MS. οἷαι ποτ. ἂν ὦσ. vulg.

ἡ τὸν ὀξύτονον ἔχ., Ald. Emendat. in *v. l.*

ταῖς ἄλλαις post πολλαῖς adieci ex MSo et iuxta additamentum a Petr. Victor. inter verss. Aldinae factum.

τε ante χρῆται MSo deest.

οὐ τὸ διὰ πέντε, Ald. Emendat. in *v. l.*

Sequentia hoc modo extabant in *l.* καὶ τῷ διὰ πάντων μελῳδεῖ καὶ τόνον καὶ ἡμιτόνιον, ὡς etc.

διὰ τεττάρων, MS.

καὶ τὴν δίεσιν, Ald. Emendat. in *v. l.*

ἐκ post μάλιστα addidi. P. Vict. inter verss. Aldinae adscripsit, neque a MSo. abest.

Digitized by Google

Σῖγα, σῖγα, λευκὸν ἴχνος ἀρβύλης
Τίθετε, μὴ κτυπεῖτ'. —
Ἀποπρόβατ' ἐκεῖσ' ἀπόπρο μοι κοίτας.

Ἐν γὰρ δὴ τούτοις τὸ „Σῖγα, σῖγα, λευκὸν" ἐφ' ἑνὸς ῥᾳθύμου μελῳδεῖται· καίτοι τῶν τριῶν λέξεων ἑκάστη βαρείας τε τάσεις ἔχει καὶ ὀξείας. Καὶ τὸ „ἀρβύλης" τῇ μέσῃ συλλαβῇ τὴν τρίτην ὁμότονον ἔχει, ἀμηχάνου ὄντος ἓν ὄνομα δύο λαβεῖν ὀξείας. Καὶ

---

ad verba: λευκὸν ἴχνος Margo: „ap. Euripid. λευκὸν. interpres tamen eiusdem λευκὸν legit."

ἀποπροβᾶτ', Ald. πρόβατ', *l.* ἄπο προβάτ' ἐκεῖσε, MS.

ἀπόπρομοι. Ald. Ex *v. l.* memoratur πρό. MS. ἄπο πρόμα, unde dedi pro vulgato ἀπόπροθι, mutatis accentibus: ἀπόπρο μοι. De praecedd. audi Seidler. de Versu dochm. Add. et Corr. p. 415. „Schaefer ad Dion. Hal. de Comp. Verb. p. 133. praeferre videtur ἀποπρόβατ', conjuncte. Bene idem monet, rhetorem legisse τίθετε, non τιθεῖτε (quae vulgaris est lectio. Noster mox scribit: καὶ τοῦ „τίθετε" ita enim h. l. Ald. τίθεται. *l.* βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δὲ μετ' αὐτὴν ὀξυτονοῦντα καὶ ὁμόφωνα) Etiam κτυπεῖτ' Dionys. legit, non κτυπεῖτε. Dicit enim μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγονται τάσει. Nota denique verba, quae ejecimus, μηδ' ἔστω κτύπος, etiam ap. Dionysium desiderari." Totum h. l. ad rationem metricam exegit idem vir praestantissimus p. 200 ss.

ὑφ' ἑνὸς, idem.

τῇ μέσῃ συλλ., MS. et *l.* atque ita iam Schaefer. conlecerat. vulg. ἐπὶ μέσῃ συλλ.

καὶ τοῦ τίθεται, *l.* τίθετε,

Digitized by Google

τοῦ „Τίθετε“ βαρυτέρα μὲν ἡ πρώτη γίνεται, δύο δὲ μετ' αὐτὴν ὀξύτονοί τε καὶ ὁμόφωνοι. Τοῦ τε „κτυπεῖτ'“ ὁ περισπασμὸς ἠφάνισται· μιᾷ γὰρ αἱ δύο συλλαβαὶ λέγονται τάσει. Καὶ τὸ „Ἀποπρόβατε“ οὐ λαμβάνει τὴν τῆς μέσης συλλαβῆς προῳδίαν ὀξεῖαν, ἀλλ' ἐπὶ τὴν τετάρτην συλλαβὴν μεταβέβηκεν ἡ τάσις ἡ τῆς τρίτης.

Τὸ δ' αὐτὸ γίνεται καὶ περὶ τοὺς ῥυθμούς. Ἡ μὲν γὰρ πεζὴ λέξις οὐδενὸς οὔτε ὀνόματος οὔτε ῥήματος βιάζεται τοὺς χρόνους, οὔτε μετατίθησιν, ἀλλ' οἵας παρείληφε τῇ Φύσει τὰς συλλαβὰς, τάς τε μακρὰς καὶ τὰς βραχείας, τοιαύτας Φυλάττει. Ἡ δὲ μουσικὴ τε καὶ ῥυθμικὴ μεταβάλλουσιν αὐτὰς μειοῦσαι καὶ παραύξουσαι, ὥστε πολλάκις εἰς τἀναντία

λα τούτοις ὅμοια παμπληθῆ, τὰ μὲν φωνῆς μιμήματα, τὰ δὲ μορφῆς, τὰ δὲ ἔργου, τὰ δὲ πάθους, τὰ δὲ κινήσεως, τα δὲ ἠρεμίας, τὰ δὲ ἄλλου χρήματος ὁτουδήποτε περὶ ὧν εἴρηται πολλὰ τοῖς πρὸ ἡμῶν. Τὰ κράτιστα δὲ νέμω, ὡς πρώτῳ τὸν ὑπὲρ ἐτυμολογίας εἰσαγαγόντι λόγον, Πλάτωνι τῷ Σωκρατικῷ, πολλαχῇ μὲν καὶ ἄλλοθι, μάλιστα δὲ ἐν τῷ Κρατύλῳ.

καὶ φρυαγμοὺς τράγων, πυρός τε βρόμον, καὶ πάταγον ἀνεμῶν, καὶ συριγμὸν κάλων. Συρίζουσα λόγχη ex Homeri poëmatis laudat Servius in Virgil. Aeneid. XII. 691. „Non iam extat alias, quod sciam.“ Barnes. ad Fragmm. Homer v. 200. T. II. p. 108. *Siridor lanceae* vertit Servius. Minus apte interpretes afferunt locum Apollonii Rhodii, quo rudentes vento agitati exprimuntur. Illustrant Nostrum verba poetae, puto, cuiusdam ap. Cicer. Epist. ad Famil. VIII. 2. *Advenit huc, quod postridie eius absolutionem in theatrum Curionis Hortensius introiit, puto, ut tantum gaudium gauderemus. Hîc tibi strepitus, fremitus, clamor tonitruum, et rudentum sibilus.* Homerici Graeci hunc sonum dicunt σφυριγμὸν τῶν σχοινίων, qui rudentibus in τροχιήλῃ (i. e. τροχαίᾳ, *Raspel*, *Rolle*) versis, efficitur. [p. 297.]

Φωνῆς μιμήματα, MS. et Ald. μηνύματα, *l.* μιμητικὰ, vulg.

τὰ δὲ ἔργων, MS.

τὰ δὲ ἄλλου τινός, MS. quibus continuo annectit haec: Τί δὴ τὰ κεφάλαιον, etc.

χρήματος ὅτου δὴ, Ald. χρ. ὅτου δή ποτε. *l.*

κράτιστα νέμω δ' ὡς, *l.*

καὶ ἄλλῃ, μάλ., Ald.

τί δὲ τὸ κ., Ald. Emendat. in v. *l.*

Digitized by Google

Τί δὴ τὸ κεφάλαιόν ἐστί μοι τούτου τοῦ λόγου; Ὅτι παρὰ μὲν τὰς τῶν γραμμάτων συμπλοκὰς ἡ τῶν συλλαβῶν γίνεται δύναμις ποικίλη, παρὰ δὲ τὴν τῶν συλλαβῶν συνθέσιν ἡ τῶν ὀνομάτων φύσις παντοδαπὴ, παρὰ δὲ τὰς τῶν ὀνομάτων ἁρμονίας πολύμορφος ὁ λόγος γίνεται· ὥστε πολλὴ ἀνάγκη, καλὴν μὲν εἶναι λέξιν, ἐν ᾗ καλά ἐστιν ὀνόματα, κάλλους δὲ ὀνομάτων συλλαβάς τε καὶ γράμματα καλὰ αἰτίαν

ἐστί μοι omitt. MS.

τούτου ante τοῦ λόγου, vulg. omissum inserunt v. l.

τῶν πραγμάτων συμπλοκὰς, MS. et *l.* Eadem vocabula confunduntur ap. Plutarch. V. Caesar. 10. extr. T. IV. p. 370. ed. Hutt. ubi sic legendum: ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα, τῶν πλείστων δικαστῶν συγκεχυμένας τοῖς γράμμασι τὰς γνώμας ἀποδιδόντων — vulgo quod legitur πράγμασι sensu cassum est.

γίνεται δύναμις, iid. libr. σύνθεσις, vulg.

παρὰ δὲ τὴν τῶν συλλ. σύνθεσιν.

p. 297. MS. et *l.* παρ. δ. τὰς τ. σ. συνθέσεις, vulg.

γίνεται post ὁ λόγος omitt. MS.

ὥστε λέξιν, ἐν ᾗ, *l.* Margo: „est c. mendosus."

κάλλους δὲ ὀνομάτων, *l.* καλῶν δὲ ὀνομάτων, vulg.

καλὰ αἴτιον εἶν. MS. et Ald. Emendat. in *l.* αἴτια vulg.

ἡδεῖάν τε διάλ., vulg. omisi particulam τε cum P. Victor. ὁμοίως δὲ καὶ ἡδεῖαν διάλ. ἐκ τούτων ἢδ. γίνεσθαι, MS. γίνεσθαι καὶ τὸ παραπλήσ. vulg. γ. κατὰ τ. π., *l.*, qui τε post ὀνομάτων omitt. Distinctionem verborum emendari, Schaeferum secutus. Vulg. colon post γίνεσθαι, comma post παραπλήσιον ponitur; post γραμμάτων non distinguitur.

Digitized by Google

εἶναι· ἡδεῖαν δὲ διάλεκτον ἐκ τῶν ἡδυνόντων τὴν ἀκοὴν γίνεσθαι κατὰ τὸ παραπλήσιον ὀνομάτων τέ καὶ συλλαβῶν καὶ γραμμάτων· τάς τε κατὰ μέρος ἐν τούτοις διαφορὰς, καθ' ἃς δηλοῦται τά τε ἤθη, καὶ τὰ πάθη, καὶ αἱ διαθέσεις, καὶ τὰ ἔργα τῶν προσώπων, καὶ τὰ συνεδρεύοντα τούτοις, ἀπὸ τῆς πρώτης κατασκευῆς τῶν γραμμάτων γίνεσθαι τοιαῦτα.

Χρήσομαι δὲ ὀλίγοις παραδείγμασι τοῦ λόγου τοῦδε, τῆς σαφηνείας ἕνεκα· τὰ γὰρ ἄλλα, πολλὰ ὄντα, ἐπὶ σεαυτοῦ συμβαλλόμενος εὑρήσεις. Ὁ

καθ' οὓς δηλοῦται, Ald. Emendat. in v. l. δηλοῦνται, l. ὀλίγοις παραδείγμασι, l. ὀλ. δείγμασι, vulg.

ἐπὶ σαυτοῦ συμβ., l. In Nostri Arte VIII. 5. leguntur haec: κεφάλαια ἐστιν, ἅπερ ἀσθενῆ ὄντα τῷ Δημοσθένει, ἐὰν ἀπ' αὐτῶν προτείνηται, ἐλέγχεται. Hic quoque Aldin. tantopere neglecta veram manum, ni fallor, innuit. In ea excusum est: ἀφ' αὑτῶν. Marg. Victor. ἀφ αυτῶν. Lego: ἐφ' αὑτῶν. Ammon. de Voc. diff. p. 2. Ἄγγελος μὲν γὰρ, πᾶς ὁ ἀγγέλλων τὰ ἔξωθεν — Αὐτάγγελος δὲ, ὁ τὰ ἑαυτοῦ διαγγέλλων, καὶ μὴ ὑφ' ἑτέρου. Possis suspicari: δι' ἑαυτοῦ, sed praestat, opinor, ἀφ' ἑαυτοῦ. Valckenar. ὁ τὰ ἑαυτοῦ ἀφ' ἑαυτοῦ διαγγέλλων, καὶ μὴ ὑφ' ἑτέρου πεμφθείς. Verum quid quaeso est opus tanta mutatione? Schol. Sophocl. Philoctet. v. 568. (quem locum citat Schaefer. Melet. crit. p. 21.) Αὐτάγγελος, ἀφ' ἑαυτοῦ ἄγγελος. cf. Zonar. Lexic c. 344.

Noster Art VIII. 4. εἰ γὰρ διαλεχθείη ἡ τέχνη, συμβή-

Digitized by Google

δὴ πολυφωνότατος ἁπάντων τῶν ποιητῶν Ὅμηρος, ὅταν μὲν ὥραν ὄψεως εὐμόρφου καὶ κάλλος ἡδονῆς ἐπαγωγὸν ἐπιδείξασθαι βούληται, τῶν τε φωνηέντων τοῖς κρατίστοις χρήσεται, καὶ τῶν ἡμιφώνων τοῖς μαλακωτάτοις, καὶ οὐ καταπυκνώσει τοῖς ἀφώνοις τὰς συλλαβὰς, οὐδὲ συγκόψει τοὺς ἤχους, παρατιθεὶς ἀλλήλοις τὰ δυσέκφορα, πραεῖαν δέ τινα ποιήσει τὴν ἁρμονίαν τῶν γραμμάτων καὶ ῥέουσαν ἀλύπως διὰ τῆς ἀκοῆς, ὡς ἔχει ταυτί·

Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη, ἠὲ χρυσῇ Ἀφροδίτῃ.

καὶ,

Δήλῳ δήποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ
Φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.

καὶ,

σεται φιλονεικοῦντας — οὐχ, ἃ βούλεται, ταῦτα συγχωρεῖν. Schottus commentus est: διειλήφθαι. Lego: διειλεγχθαι.

ὄραν ὄψ., Ald. Emendat. in *v. l.*

ἡδονῆς ἐπαγωγὸν, *l.*

τῶν τε φωνηέντων, Ald. et MS. τῶν δὲ Φ., vulg.

οὐ καταπυκνοῖ, omisso praecedente καὶ, Ald. Emendat. in *l.*

τοῖς ἀφώνους συλλαβὰς, Ald. Emendat. in *l.*

συγκόπτει τοὺς ἤλους, παρ. p. 297.

πραεῖαν δ. τ. ποιεῖ τ. ἁρμ., Ald. Emendat. ibid.

v. 2. Ἀρτέμιδι ἰκέλη, Ald.

v. 1. Ἀπόλλωνα, Ald. Emendat. inter verss.

v. 2. ἔρνος νέον, Ald. Emendat. in Marg.

καὶ post ἐνόησα non agnoscit MS.

Digitized by Google

Καὶ Χλῶριν εἶδον περικαλλέα, τὴν ποτε Νηλεὺς
Γῆμεν ἑὸν διὰ κάλλος, ἐπεὶ πόρε μυρία ἕδνα.
Ὅταν δὲ οἰκτρὰν, ἢ φοβερὰν, ἢ ἀγέρωχον ὄψιν εἰς-
άγῃ, τῶν φωνηέντων οὐ τὰ κράτιστα θήσει, ἀλλὰ
τῶν ψοφοειδῶν, ἢ ἀφώνων τὰ δυσεκφορώτατα λή-
ψεται, καὶ καταπυκνώσει τούτοις τὰς συλλαβὰς, οἷά
ἐστι ταυτί·

Σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἄλμῃ.
Τῇ δ' ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο,
Δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε.
Ποταμῶν δέ γε σύῤῥυσιν εἰς χωρίον ἓν, καὶ πάτα-
γον ὑδάτων ἀναμισγομένων ἐκμιμήσασθαι τῇ λέξει
βουλόμενος, οὐκ ἐργάζεται λείας συλλαβὰς, ἀλλ'
ἰσχυρὰς καὶ ἀντιτύπους·

Ὡς δ' ὅτε χείμαῤῥοι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες,

---

v. 1. Χλῶριν ἶδον, MS. et Ald. Margo: „εἶδον, ita legitur ap. Homer."

v. 2. ἑὸν μετὰ κάλλος, Ald. ἕδνα, MS.

τε, quod vulg. legunt ante φωνηέντων, abest ab l. et MSo.

v. 2. Γοργῶ, Ald. Margo: „Γοργὼ ap. Homer."

v. 3. παρὰ δὲ Δεῖμός τ., Ald. Emendat. in *l.*

σύῤῥυσιν, MS.

ἓν ab Ald. omissum suppletur in *l.*

μισγομένων, Ald. vulgata in *l.*

οὐκ ἐργάζεται λείας — ἀντιτύπους. Ὡς, etc. *l.* οὐκ ἔστι λ. ἀντιτ. θήσει· Ὡς, etc. vulg. conf. p. 210. p. 297

v. 1. ὡς δ' ὅτε, Ald. Corrigit. inter versa.

Digitized by Google

Ἐς μισγάγκειαν συμβάλλετον ὄμβριμον ὕδωρ.

Βιαζόμενον δέ τινα πρὸς ἐναντίον ῥεῦμα ποταμοῦ μετὰ τῶν ὅπλων, καὶ τὰ μὲν ἀντέχοντα, τὰ δὲ ὑποφερόμενον εἰσάγων, ἀνακοπάς τε ποιήσει συλλαβῶν, καὶ ἀναβολὰς χρόνων, καὶ ἀντιστηριγμοὺς γραμμάτων·

Δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
Ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
Εἶχε στηρίξασθαι. —

Ἀραττομένων δὲ περὶ πέτρας ἀνθρώπων ψόφον τε καὶ μόρον οἰκτρὸν ἐνδεικνύμενος, ἐπὶ τῶν ἀηδεστάτων τε καὶ κακοφωνοτάτων χρονιεῖ γραμμάτων, οὐδαμῆ λεαίνων τὴν κατασκευὴν, οὐδὲ ἡδύνων·

Σὺν δὲ δύω μάρψας, ὥστε σκύλακας, ποτὶ γαίῃ
Κόπτ'· ἐκ δ' ἐγκεφαλος χαμάδις ῥέε, δεῦε δὲ γαῖαν.

Πολὺ ἂν ἔργον εἴη λέγειν, εἰ πάντων παραδείγματα βουλοίμην φέρειν, ὧν ἄν τις ἀπαιτήσειε κατὰ τὸν

---

v. 2. ὄβριμον ὕδωρ, *l.* Margo: „ut est apud Homer." Paullo ante ποτὶ καῖ ἔρ. Ald. Emendat. in *l.*

Βιαζόμενος, Ald. Corrigit. inter vers.

τὸ δὲ ὑποφερόμενον, *l.* ἀναβολλὰς, Ald. Emendat. in Marg.

v. 3. στηρίξασθαι, *l.* Margo: „ut est ap. Homer." στηρίζεσθαι, vulg.

Δραττομένων δὲ περὶ, *l.* οἰκτρὸν ἐπιδεικνύμενος, idem lib.

Φέρειν, — — τόπ. τόνδε, *l.* Φέρων, καὶ κατὰ τόπ. τόνδε.

Digitized by Google

τόπον τόνδε· ὥστε ἀρκεσθεὶς τοῖς εἰρημένοις, ἐπὶ τὰ ἑξῆς μεταβήσομαι. Φημὶ δὴ τὸν βουλόμενον ἐργάσασθαι λέξιν καλὴν, ἐν τῷ συντιθέναι τὰς φωνὰς, ὅσα καλλιλογίαν ἢ μεγαλοπρέπειαν ἢ σεμνότητα περιείληφεν ὀνόματα, τὸ αὐτὸ συνάγειν. Εἴρηται δέ τινα περὶ τούτων καὶ Θεοφράστῳ τῷ Φιλοσόφῳ κοινότερον ἐν τοῖς περὶ Λέξεως, ἔνθα ὁρίζει, τίνα ὀνόματα φύσει καλὰ, παραδείγματος ἕνεκα, ὧν συντιθεμένων, καλὴν οἴεται καὶ μεγαλοπρεπῆ γενήσεσθαι τὴν φράσιν, καὶ αὖθις ἕτερα μικρὰ καὶ ταπεινὰ, ἐξ ὧν οὔτε ποίημα χρηστὸν ἔσεσθαί φησιν, οὔτε λόγον. Καὶ μὰ Δία οὐκ ἀπὸ σκοποῦ ταῦτα τῷ ἀνδρὶ εἴρηται. Εἰ μὲν οὖν ἐγχωροίη πάντα εἶναι τὰ μόρια τῆς λέξεως, ὑφ' ὧν μέλλει δηλοῦσθαι τὸ πρᾶγμα, εὔφωνά τε καὶ καλλιρήμονα, μανίας ἔργον ζητεῖν τὰ χείρω· εἰ δὲ ἀδύνατον εἴη τοῦτο, ὥσπερ ἐπὶ p. 297.

ὧν ἂν τις ἀπαιτήσειεν· ὥστε, etc., vulg.

Φημὶ δὴ τὸν β., *v. l.* Φ. δὲ τὸν β., vulg.

ὅσοι καλλιλ., Ald. Emendat. in *v. l.*

καλλ. ἢ μεγαλοπρ., *l.* κ. καὶ μεγαλ., vulg.

εἰς τὸ αὐτὸ, *l.* εἰς τοῦτο, vulg.

articulum ante Φιλοσόφῳ, ab Aldo omissum Marg. addit.

καθ' ὃ ὁρίζει, *l.* pro ἔνθα ὁρ.

γίνεσθαι τὴν φράσιν, id. lib.

αὖθις ante ἕτερα μικρ. ab eod. libr. abest.

ποίημα χρήσιμον ἔσεσθαι, idem.

ἐγχ. πάντ' εἶναι, MS.

Digitized by Google

πολλῶν ἔχει, τῇ πλοκῇ καὶ μίξει καὶ παραθέσει πειρατέον ἀφανίζειν τὴν τῶν χειρόνων φύσιν· ὅπερ Ὅμηρος εἰωθεν ἐπὶ πολλῶν ποιεῖν. Εἰ γάρ τις ἔροιτο ὁντινοῦν ἢ ποιητῶν ἢ ῥητόρων, τίνα σεμνότητα ἢ καλλιλογίαν ταῦτα ἔχει τὰ ὀνόματα, ἃ ταῖς Βοιωτικαῖς κεῖται πόλεσιν, Τρία, καὶ Μυκαλησσὸς, καὶ Γραῖα, καὶ Ἐτεωνὸς, καὶ Σκῶλος, καὶ Θίσβη, καὶ Ὀγχηστὸς, καὶ Εὔτρησις, καὶ τἆλλα ἑξῆς, ὧν ὁ ποιητὴς μέμνηται, οὐδεὶς ἂν εἰπεῖν οὐδ' ἠντινοῦν ἔχοι. Ἀλλ' οὕτως αὐτὰ καλῶς ἐκεῖνος συνύφαγκε, καὶ παραπληρώμασιν εὐφώνοις διείληφεν, ὥστε μεγαλοπρεπέστατα φαίνεσθαι πάντων ὀνομάτων.—

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον,
Ἀρκεσίλαός τε, Προθοήνωρ τε, Κλονίος τε·
Οἵ θ' Τρίην ἐνέμοντο, καὶ Αὐλίδα πετρήεσσαν,
Σχοινόν τε, Σκῶλόν τε, πολύκνημόν τ' Ἐτεωνὸν,
Θέσπειαν, Γραῖάν τε, καὶ εὐρύχορον Μυκαλησσόν·

Ὅμηρος εἰωθεν, Ald. Emendat. in Marg.

ὁντινοῦν ἢ ποιητῶν, *l.* ὁντινοῦν τῶν π., vulg. ὁντινασοῦν τῶν π., Ald.

ἃ ταῖς Βοιωτικαῖς, *l.* ἃ τ. Βοιωτιαῖς, vulg. v. Bast. Comm. Palaeogr. p. 791.

καὶ Γραία, MS. Hesych. Γραία, πόλις, γῆ, καὶ Δημήτηρ.

τἆλλα ἑφεξῆς, *l.* συνύφανεν, Ald. συνύφαγκε, MS. συνύφαγκεν, vulg.

μεγαλοτρεπέστερα φαίν., MS.

φαίν.. πάντων ὀνομάτων ν. *l.* φαίν. τούτων ὀνόματα, vulg.

Digitized by Google

Οἵ τ' ἀμφ' Ἄρμ' ἐνέμοντο, καὶ Εἰλέσιον, καὶ Ἐρυθράς·

Οἵ τ' Ἐλεῶν' εἶχον, ἠδ' Ὕλην, καὶ Πετεῶνα,
Ὠκαλέην, Μεδεῶνά τ', εὐκτίμενον πτολίεθρον.

Ἐν εἰδόσι λέγων οὐκ οἶομαι πλειόνων δεῖν παραδειγμάτων. Ἅπας γὰρ ἐστὶν ὁ κατάλογος αὐτῶν τοιοῦτος, καὶ πολλὰ ἄλλα, ἐν οἷς ἀναγκασθεὶς ὀνόματα λαμβάνειν οὐ καλὰ τὴν φύσιν, ἑτέροις αὐτὰ κοσμεῖ καλοῖς, καὶ λύει τὴν ἐκείνων δυσχέρειαν τῇ τούτων εὐμορφίᾳ. Καὶ περὶ μὲν τούτων ἅλις.

ΤΜΗΜΑ ιζ'.

Ἀριθμῶν ἢ ῥυθμῶν πέρι.

Ἐπεὶ δὲ καὶ τοὺς ῥυθμοὺς ἔφην οὐ μικρὰν μοῖραν ἔχειν τῆς ἀξιωματικῆς καὶ μεγαλοπρεποῦς συν-

---

v. 7. Πατεῶνα, Ald. Emendat. in Marg.

v. 8. Ὠκαλίσιν, Ald. Emendat. ibid.

γὰρ post ἅπας adieci ex v. Scite mihi videtur hunc locum emendasse Toup. ad Longin. p. 278. Weisk., qui, „deinde" ait, „recte αὐτῷ, *apud illum*, quomodo et Noster alibi locutus est. Restituenda haec vox Dionysio Halicarn. d. Struct. Orat. c. 16. Ἅπας ἐστὶν ὁ κατάλογος ΑΤΤΩι τοιοῦτος. ita scribendum, non αὐτῶν. Conf. Dionys. cap. 22. p. 46."

Sect. XVII. καὶ addidi ex iisd. libr. post ἐπεὶ δὲ.

Digitized by Google

θέσεως, ἵνα μή μέ τις εἰκῇ δόξῃ λέγειν, ῥυθμοὺς καὶ μέτρα, μουσικῆς οἰκεῖα θεωρίας, εἰς οὐ ῥυθμικὴν οὐδ' ἔμμετρον εἰσάγοντα διάλεκτον, ἀποδώσω καὶ τὸν ὑπὲρ τούτων λόγον. Ἔχει δὲ οὕτως. Πᾶν ὄνομα καὶ ῥῆμα καὶ ἄλλο μόριον λέξεως, ὅ, τι μὴ μονοσύλλαβόν ἐστιν, ἐν ῥυθμῷ τινι λέγεται· τὸ δ' αὐτὸ καλῶ πόδα καὶ ῥυθμόν.

Δισύλλαβοι πόδες.

Δισυλλάβου μὲν οὖν λέξεως διαφοραὶ τρεῖς. Ἡ γὰρ ἐξ ἀμφοτέρων ἔσται βραχειῶν, ἢ ἐξ ἀμφοτέρων μακρῶν; ἢ τῆς μὲν βραχείας, τῆς δὲ μακρᾶς. Τοῦ δὲ τρίτου τούτου τοῦ ῥυθμοῦ διττὸς ὁ τρόπος· ὁ μέν τις, ἀπὸ βραχείας ἀρχόμενος, καὶ λήγων εἰς μακράν· ὁ δὲ, ἀπὸ μακρᾶς, καὶ λήγων εἰς βραχεῖαν. Ὁ μὲν οὖν βραχυσύλλαβος, Ἠγεμών τε καὶ Πυρρί-

---

ἵνα μηδεὶς εἰκῇ, MS. et *b* Margo: „μηκέτις."

εἰς οὔτε ῥυθμοὺς, οὐδ', Ald. Emendat. in *l.*

εἰσάγονται διάλεκτον, Ald. Emendat. in Marg.

καὶ ῥῆμα post π. ὄνομα ab Ald. omissa in Marg. supplentur.

ῥυθμὸν ante λέξεως abest ab *b.*

διαφοραὶ τέσσαρες, MS.

ἀμφ. ἔσται βραχιῶν, Ald. P. Victor. super ϛ scripsit ει. βραχέων, *l.*

τούτου δὲ τοῦ τρίτου, id. lib. τριτοῦ, Ald. Emendat. in *v.*

Digitized by Google

χιος καλεῖται, καὶ οὔτε μεγαλοπρεπὴς ἐστιν, οὔτε σεμνός. Σχῆμα δ' αὐτοῦ τοιόνδε·

Λέγε δὲ σὺ κατὰ πόδα νεόχυτα μέλεα.

σὺ post λέγε δὲ, ab Aldo omissum, suppletur in *v. l.* νεόχυτα, *l.* et MS. Quod recepi pro vulgat. νεόλυτα, quanquam in eiusmodi fragmento nihil licet decernere. Uptonus ad h. l. „Cuiuscunque poetae fuerit, videtur hoc versu Penthea dilaniatum exprimere." Mihi quidem videtur de numeris sermo esse κατὰ πόδα recitandis, quemadmodum infr. p. 430. carmen Simonideum κατὰ διαστολὰς legendum esse praecipit. Neque infitior, ut vulgatam immutem, movere me horum librorum praestantiam. Dionys. Thrax, Grammat. (ap. Fabric. Bibl. Gr. T. VI. p. 311.) Cap. II. Ἀναγνώρισίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάττωτος προφορὰ. ἀναγνωστέον δὲ καθ' ὑπόκρισιν, κατὰ προσῳδίαν, κατὰ διαστολήν. Ἐκ μὲν γὰρ τῆς ὑποκρίσεως τὴν ἀρετὴν, ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην, ἐκ δὲ διαστολῆς τὸν περιεχόμενον νοῦν ὁρῶμεν, ἵνα τὴν μὲν τραγῳδίαν ἡρωϊκῶς ἀναγγῶμεν, τὴν δὲ κωμῳδίαν βιοτικῶς, τὰ δὲ ἐλεγεῖα λιγυρῶς, τὸ δὲ ἔπος ἐντόνως, τὴν δὲ λυρικὴν ποίησιν ἐμμελῶς, τοὺς δὲ οἴκτους ὑφειμένως καὶ γοερῶς. τὰ γὰρ μὴ παρὰ τὴν τούτων γινόμενα παρατήρησιν, καὶ τὰς τῶν ποιητῶν ἀρετὰς καταῤῥίπτει, καὶ τὰς ἕξεις τῶν ἀναγινωσκώντων καταγελάστους παρίστησι. Explicantur haec a Scholiasta ap. Villoison. Anecdot. gr. T. II. p. 180., cuius totam interpretationem adscribere longum sit. Hoc tantum describam: — διαστολὴ δέ ἐστιν διάστασις γράμματος περὶ τὴν σύνταξιν ἀμφιβάλλουσα, ἢ ἀμφίβολον. διαστολὴ δὲ εἴρηται, ὅτι διαστέλλει τὸν ἐγκείμενον νοῦν κατὰ στιγμήν . . . . . ἐκ μὲν τῆς ὑποκρίσεως τὴν ἀρετὴν τοῦ ποιητοῦ ὁρῶμεν· ἐκ δὲ τῆς προσῳδίας τὴν τέχνην τοῦ ἀναγιγ-

Digitized by Google

Ὁ δ' ἀμφοτέρας τὰς σύλλαβὰς μακρὰς ἔχων, κέκληται μὲν Σπονδεῖος, ἀξίωμα δὲ ἔχει μέγα καὶ σεμνότητα πολλήν. Παράδειγμα δὲ αὐτοῦ τόδε·

Ποίαν δῆθ' ὁρμάσω, ταύταν ἢ κείναν, κείναν ἢ ταύταν;

Ὁ δὲ ἐκ βραχείας τε καὶ μακρᾶς συγκείμενος, ἐὰν μὲν τὴν ἡγουμένην λάβῃ βραχεῖαν, Ἴαμβος καλεῖται, καὶ ἔστιν οὐκ ἀγενής· ἐὰν δὲ ἀπὸ τῆς μακρᾶς ἄρχηται, Τροχαῖος, καὶ ἔστι μαλακώτερος θατέρου καὶ ἀγενέστερος. Παράδειγμα δὲ τοῦ μὲν προτέρου τοιόνδε·

Ἐπεὶ σχολὴ πάρεστι, παῖ Μενοιτίου.

τοῦ δ' ἑτέρου·

ὑώσκοντος· ἐκ δὲ τῆς διαστολῆς, τουτέστι τῆς στιγμῆς, τὴν διάνοιαν καὶ τὴν σαφήνειαν τοῦ ποιήματος διακρίνομεν. vid. ibid. not. 1.

ὁρμάσω. Erfurdt Addend. ad Euripid. Hecub. v. 165. ed. Porson. p. 570. „ὁρμάσω, quod pro ἥσω Dionysius Halicarnassensis habet, interpretamentum esse Scholiastae docet expositio: Ἥσω· ὁρμήσω. ἵημι τὸ ἁρμῶ κ. τ. λ. Fortasse legendum: ποῖ δ' ἄσσω. Simili permutatione Soph. Aiac. 629. ἄσει pro ἥσει exhibet Suidas v. ἀηδών.“

ταύτην ἢ κείναν, Ald. Emendat. in Marg. κείναν semel tantum agnoscit MS.

ἔστιν οὐκ ἀγεννὴς MS. et Ald. ex P. Victorii correctione.

μαλακώτερος τούτου, MS. καὶ ἀγεννέστερος, Ald. MS. παραδ. τοῦ μὲν, l. παραδ. δὲ τ. πρ., vulg.

Ἐπὶ σχολῇ, Marg.

Digitized by Google

Θυμὲ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε.
Δισυλλάβων μὲν δὴ μορίων λέξεως διαφοραί τε καὶ ῥυθμοὶ καὶ σχήματα τοσαῦτα.

Τρισύλλαβοι πόδες.

Τρισυλλάβων δ' ἕτερα πλείω τῶν εἰρημένων, καὶ ποικιλωτέραν ἔχοντα θεωρίαν. Ὁ μὲν γὰρ ἐξ ἁπασῶν βραχειῶν συνεστὼς, καλούμενος δὲ ὑπό τινων Τρίβραχυς πούς· οὗ παράδειγμα τοιόνδε·

Βρόμιε, δορατοφόρ', ἐνυάλιε, πολεμοκέλαδε·

ταπεινός τε καὶ ἄσεμνός ἐστι, καὶ οὐδὲν ἂν ἐξ αὐτοῦ γένοιτο γενναῖον. Ὁ δὲ ἐξ ἁπασῶν μακρῶν, (Μολοττὸν δὲ αὐτὸν οἱ μετρικοὶ καλοῦσιν,) ὑψηλός τε καὶ ἀξιωματικός ἐστι καὶ διαβέβηκεν ὡς ἐπὶ πολύ. Παράδειγμα δὲ αὐτοῦ τόδε·

κήδεσι., Ald. et MS.

μὲν post δισυλλάβων abest ab *l.*

Χρεῖος, vulg. ante Τρίβραχυς. Omisi Aldo praeeunte.

δορατοφόρε, idem.

πολεμσικέλαδε, MS.

καὶ ἀγενὴς vulg. post ἄσεμνός ἐστι. Ab Aldin. absunt, sed Marg. supplet. Petrejam. Ab Epitomatore quodam profecta sunt, qui verba καὶ οὐδὲν ἂν ἐξ αὐτοῦ γένοιτο γενναῖον in compendium redigeret.

τε post ὑψηλὸς omitt. MS.

καὶ διαβέβηκεν ὡς ἐπὶ π., *l.* καὶ διαβεβηκὼς ὡς ἐπ. π. vulg.

ἐπιπαλὺ coniunctim Ald.

παράδ. δ. αὐτ. τοιόνδε, *l.*

Digitized by Google

Ὦ Ζηνὸς καὶ Ἥδας κάλλιστοι σωτῆρες.

Ὁ δ' ἐκ μακρᾶς καὶ δυοῖν βραχειῶν, μέσην μὲν λαβὼν τὴν μακρὰν ἑκατέρας τῶν βραχειῶν, Ἀμφίβραχυς ὠνόμασται, καὶ οὐ σφόδρα τῶν εὐσχημόνων ἐστὶ ῥυθμῶν, ἀλλὰ διακέκλασταί τε καὶ πολὺ τὸ θῆλυ καὶ ἀηδὲς ἔχει· οἷά ἐστι ταῦτα·

Ἴαχε διθύραμβε, σὺ τῶνδε χοραγέ.

Ὁ δὲ περιλαμβάνων τὰς δύο βραχείας, Ἀνάπαιστος μὲν καλεῖται, σεμνότητα δὲ ἔχει πολλήν, καὶ ἔνθα δεῖ μέγεθός τε περιθεῖναι ταῖς πράγμασιν ἢ πάθος, ἐπιτήδειός ἐστι παραλαμβάνεσθαι. Τούτου τὸ σχῆμα τοιόνδε· p. 297.

Βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν.

Ὁ δὲ ἀπὸ τῆς μακρᾶς ἀρχόμενος, λήγων δὲ ἐς τὰς βραχείας, Δάκτυλος μὲν καλεῖται, πάνυ δέ ἐστι σεμνὸς, καὶ εἰς τὸ κάλλος τῆς ἁρμονίας ἀξιολογώτα-

---

δυοῖν βραχιῶν, Ald. Correxit, ut supra, P. Victor.

ἑκατέρας τῶν βρ. absunt ab *l.*

κέκλασται πρὸς τὸ θῆλυ καὶ ἀηδὲς, MS. διακέκλασται; Ald. Emendat. in *v.* διακεκλάσται, *l.* καὶ ἀγεννὲς, Ald. ex Petr. Victorii correctione. καὶ ἀηδὲς, *l.* n. ἀγεννὲς, vulg.

τι post μέγεθος vulg. omitt. Adieci ex *l.*

περιτιθέναι τοῖς, id. lib.

περιλαμβάνεσθαι, id.

Βραχύμους, Ald. Emendat. in Marg.

κεφαλᾶς ἐπικρ. ἔχει, MS. Δακτυλικὸς μὲν καλεῖτ., Ald. Emendat. in *l.*

Articulos adieci ante κάλ-

Digitized by Google

τος, καὶ τό γε ἡρωϊκὸν μέτρον ἀπὸ τούτου κοσμεῖται ὡς ἐπὶ τὸ πολύ. Παράδειγμα δὲ αὐτοῦ τόδε·

Ἰλιόθεν με Φέρων ἄνεμος Κικόνεσσι πέλασσεν.

Οἱ μέντοι ῥυθμικοὶ τούτου τοῦ ποδὸς τὴν μακρὰν βραχυτέραν εἶναί φασι τῆς τελείας· οὐκ ἔχοντες δὲ εἰπεῖν πόσῳ, καλοῦσιν αὐτὴν ἄλογον. Ἕτερος ἐστιν ἀντίστροφόν ἔχων τούτῳ ῥυθμὸν, ὃς ἀπὸ τῶν βραχειῶν ἀρξάμενος ἐπὶ ἄλογον τελευτᾷ. Τοῦτον χωρίσαντες ἀπὸ τῶν ἀναπαίστων, Κυκλικὸν καλοῦσι, παράδειγμα αὐτοῦ φέροντες τοιόνδε·

p. 297.

λος et ἁρμονίας ex *l.* et MSo. ἁρμηνείας, iid. libr.

ἀπὸ τούτω ωσμ. M6.

ὡς ἐπιτοπολύ, Ald.

οἱ μὲν ῥυθμικοὶ, Ald. vulgatam fert *l.*

εἰπεῖν ὅσῳ, Marg.

Sequentia ex *l.* pleniora dedi. Vulgatae editt. hoc modo habent: ἕτερον δὲ ἀντίστροφόν τινα τούτῳ ῥυθμὸν — — ἄλογον τοῦτον τελευτᾷ, χωρ. ἀπ. τ. ἀναπ. Κύκλον καλ. In his hoc varietatis ex libris meis enotavi: ἐπί τινα λόγον τ., Ald. ἐπὶ τὶν ἄλογον, γ. ἐπὶ τὴν ἄλογον, *l.* Persaepe confunditis et articulum, v. Schaeferum ad Nostr. p. 28. 225. monentem. De vocabulo ἄλογος, passim illo in hoc libello obvio v. Pet. Victor. ad p. 180. cf. p. 282. οἱ δὲ ἄλλοι πάντες εἰσὶ δάκτυλοι, καὶ αὐτοὶ γε παραδεδιωγμένας ἔχοντες τὰς ἀλόγους. add. p. 224. 366. Τοῦτον omitt. Ald. Post χωρίσαντες posuit Petr. Victor. sed postea delevit. Vulg. ponunt ante τελευτᾷ. Post hoc verbum habet γ. Dein χωρήσαντες, Ald. Denique Κύκλον καλ. emendat. in *l.*

Digitized by Google

Κέχυται πόλις ὑψίπυλος κατὰ γᾶν.

Περὶ ὧν ἂν ἕτερος εἴη λόγος. Πλὴν ἀμφότεροί γε τῶν πάνυ καλῶν οἱ ῥυθμοί. Ἓν ἔτι λείπεται τρισυλλάβων ῥυθμῶν γένος, ὃ συνέστηκε μὲν ἐκ δύο μακρῶν καὶ βραχείας, τρία δὲ ποιεῖ σχήματα. Μέσης μὲν γὰρ γενομένης τῆς βραχείας, ἄκρων δὲ τῶν μακρῶν, Κρητικός τε λέγεται, καὶ ἔστιν οὐκ ἀγενής. Ὑπόδειγμα δὲ αὐτοῦ τοιόνδε·

Οἱ δ' ἐπείγοντο πλωταῖς ἀπήνησι χαλκεμβόλοις.

Ἐὰν δὲ τὴν ἀρχὴν αἱ δύο μακραὶ κατάσχωσι, τὴν δὲ τελευτὴν ἡ βραχεῖα, οἷά ἐστι ταυτί·

Σοὶ, Φοῖβε Μοῦσαί τε, συμβῶμεν·

cf. p. 11. 60

ὑψίπυλον κατὰ γ., Ald.

τρισύλλαβον ῥυθμῶν, *l.*

ποιεῖ σχήματα, idem. ἔχει σχ., vulg.

ἔστιν οὐκ ἀγεννὴς, Ald.

αὐτοῦ τοιοῦτον, v.

πρώταις ἀπήνεσσι, *l.* ἀπήναισι, MS. et *v.* ἀπήνεσι, Ald.

χαλκεμβόλοις, MS. et *l.* χαλκεμβόλοισιν, vulg. Praetuli prius, ut esset ἀκατάληκτον rhythmi Cretici exemplum.

ἡ ante βραχεῖα om. Ald. Schaefer. ad h. l. „Articulum addidi. Paullo ante: τῆς βραχείας. Mox: ἡ βραχεῖα. Elisit articulum ultima litera vocis praegressae. V. Melet. Crit. p. 11.“ Paullo ante δὲ post ἐὰν lineola damnatur.

Σὺ Φοῖβε et σύμβωμοι, *l.* Posterius etiam MS. Quae ad sensum longe alteri lectioni praestant.

Digitized by Google

ἀνδρῶδές τε πάνυ ταὐτό ἐστι τὸ σχῆμα, καὶ εἰς σεμνολογίαν ἐπιτήδειον. Τὸ δὲ αὐτὸ συμβήσεται, κἂν ἡ βραχεῖα πρώτη τεθῇ τῶν μακρῶν· καὶ γὰρ οὗτος ὁ ῥυθμὸς ἀξίωμα ἔχει καὶ μέγεθος. Παράδειγμα δὲ αὐτοῦ τόδε·

Τίν' ἀκτὰν, τίν' ὕλαν δράμω; ποῖ πορευθῶ;

Τούτοις ἀμφοτέροις ὀνόματα κεῖται τοῖς ποσὶν ὑπὸ τῶν μετρικῶν, Βακχεῖος μὲν τῷ προτέρῳ, Ἀθατέρῳ δὲ Ὑποβάκχειος. Οὗτοι δώδεκα ῥυθμοί τε καὶ πόδες εἰσὶν οἱ πρῶτοι καταμετροῦντες ἅπασαν ἔμμετρόν τε καὶ ἄμετρον λέξιν, ἐξ ὧν γίνονται στίχοι τε καὶ κῶλα. Οἱ γὰρ ἄλλοι ῥυθμοὶ καὶ πόδες πάντες ἐκ τούτων εἰσὶ σύνθετοι· ἁπλοῦς δὲ ῥυθμὸς ἢ ποὺς, οὔτ' ἐλάττων ἐστὶ δυοῖν συλλαβῶν, οὔτε μείζων τριῶν.

τουτό ἐστι τὸ σχῆμα dedi ex correctione P. Victorii. Vulg. ἐστι omitt.

εἰς σεμνότητος λογίαν, Ald. Emendat. in *l.* et MSo. εἰς σεμνότητα ἑτιτ., Marg. V. Schefer. ad h. l.

βραχεῖα συντεθῇ τῶν μ., *l.*

παράδ δὲ τούτου τόδε, id. lib.

τίνα γᾶν, τιν', id.

ὕλ δρόμῳ, Ald. ὑλ. δράμῳ, *l.*

ποιπορευθῶ, Ald.

Mox vulgatum ordinem in πόδες καὶ ῥυθμοὶ mutatum volunt P. Victor. et MS.

πάντες ab Ald. omissum suppletur in l.

τὰ inter versus post ὅ,τι δεῖ inseruit P. Victor. At confer Isocrat. Trapezit. 17; p. 637. Panath. 39, p. 429. II Epist. ad Philipp. p. 725. VIII. Epist. p. 753., quos locos mihi suppeditavit Wer-

Digitized by Google

Καὶ περὶ μὲν τούτων οὐκ οἶδα ὅ, τι δεῖ πλείω λέγειν.

ΤΜΗΜΑ ιή.

Ῥυθμῶν δύναμις.

Ὧν δὲ ἕνεκα νῦν ὑπήχθην ταῦτα προειπεῖν· οὐ γὰρ δὴ τηνάλλως γέ μοι προὔκειτο μετρικῶν τε καὶ ῥυθμικῶν ἅπτεσθαι θεωρημάτων, ἀλλὰ τοῦ ἀναγκαίου ἕνεκα· ταῦτά ἐστιν. Ὅτι μὲν διὰ τῶν γενναίων καὶ ἀξιωματικῶν καὶ μέγεθος ἐχόντων ῥυθμῶν ἀξιωματικὴ γίνεται σύνθεσις καὶ γενναία καὶ μεγαλοπρεπὴς, διὰ δὲ τῶν ἀγενῶν τε καὶ ταπεινῶν ἀμεγέθης τις καὶ ἄσεμνος, ἐάν τε καθ' ἑαυτοὺς ἕκαστοι τούτων λαμβάνωνται τῶν ῥυθμῶν, ἐάν τε ἀλλήλοις

---

fer. in Actt. Philol. Monac. T. I. p. 81. s. quem vid. coll. Schaefero ad h. l.

p. 297. Paullo ante ἔσται οὐο συλλαβῶν, MS.

Sect. XVIII. νῦν ὑπείχθην, l. προςειπεῖν, id.

τηνάλως, Ald. Emendat. in *l.*

μετρικῶν τε καὶ ῥυθμικῶν, *l.* ῥυθμῶν τε καὶ μετρικῶν, vulg. v. Sylburg.

μὲν post ὅτι: ex Marg. intuli.

γράφεται σύνθεσις, Ald. Margo: „γρ. γίνεται. *l.*" una cum nota huius verbi tachygraphica.

καὶ γενναῖα (scr. γενναία), *l.* καὶ βεβαία, vulg.

τε post ἀγενῶν addidi ex *l.* τις post ἀμεγέθης ex *l. v.*

Digitized by Google

κατὰ τὰς ὁμοζυγίας συμπλέκωνται, δῆλον. Εἰ μὲν οὖν ἔσται δύναμις ἐξ ἁπάντων τῶν κρατίστων ῥυθμῶν συνθεῖναι τὴν λέξιν, ἔχοι ἂν ἡμῖν κατ' εὐχήν· εἰ δὲ ἀναγκαῖον εἴη μίσγειν τοῖς κρείττοσι τοὺς χείρονας, ὡς ἐπὶ πολλῶν γίνεται· τὰ γὰρ ὀνόματα κεῖται τοῖς πράγμασιν, ὡς ἔτυχεν· οἰκονομεῖν αὐτὰ χρὴ φιλοτέχνως, καὶ διακλέπτειν τῇ χάριτι τῆς συνθέσεως τὴν ἀνάγκην, ἄλλως τε καὶ πολλὴν τὴν ἄδειαν ἔχοντας· οὐ γὰρ ἀπελαύνεται ῥυθμὸς οὐδεὶς ἐκ τῆς ἀμέτρου λέξεως, ὥσπερ ἐκ τῆς ἐμμέτρου.

Μαρτύρια δὲ ὧν εἴρηκα παραθεῖναι λοιπὸν, ἵνα μοι καὶ πίστιν ὁ λόγος λάβῃ. Ἔσται δὲ ὀλίγα περὶ πολλῶν. Φέρε δὴ, τίς οὐκ ἂν ὁμολογήσειεν, ἀξιωματικῶς τε συγκεῖσθαι καὶ μεγαλοπρεπῶς τὴν Θου-

---

ὁμοζυγίας συμπλέκοντες, Ald. Margo: „γρ. συμπλέκωνται." ὁμ. συμπλέκονται, *l.*

Post συμπλ. addidi δῆλον ex eod. libr., mutata supra interpunctione, cum post ταῦτά ἐστι commate interpunxissent.

πολλῶν γράφεται, Ald. Emendat. in *l.* quomodo paullo supra commemoravi.

ὀνόματα ἔκκειται, Ald. ὀν. ἔγκειται, vulg. κεῖται, *l.* Locus ex p. 380. in auxilium vulgatae a Schaefero advocatus emendatus a me est iuxta Aldinam. Restat alter tantum p. 386.

οὐ γὰρ ἀπελαύνεται, Ald. οὐδὲ γὰρ ἀπολαύεται legebatur ante H. Wolfium, Upton. Schaeferum. οὐδὲ γὰρ ἀπελ., vulg.

ἔσται δὲ ὀλίγα, *l.* v. ἔστι δὲ ὀλ., vulg.

Digitized by Google

κωδίδου λέξιν τὴν ἐν τῷ ἐπιταφίῳ ταύτην; ,,Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλόν γ' ἐπὶ ταῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν." Τί οὖν ἐστιν, ὃ πεποίηκε ταύτην μεγαλοπρεπῆ τὴν σύνθεσιν; τὸ ἐκ τοιούτων συγκεῖσθαι ῥυθμῶν τὰ κῶλα. Τρεῖς μὲν γὰρ οἱ τοῦ πρώτου προηγούμενοι κώλου σπονδεῖοι πόδες εἰσίν· ὁ δὲ τέταρτος, ἀνάπαιστος· ὁ δὲ μετὰ τοῦτον, αὖθις σπονδεῖος· ἔπειτα, Κρητικός· ἅπαντες ἀξιωματικοί. Καὶ τὸ μὲν πρῶτον αὐτῷ κῶλον διὰ ταῦτά ἐστι σεμνόν· τὸ δὲ ἑξῆς τουτί· ,,Ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε" δύο μὲν ἔχει τοὺς πρώτους

ἤδη post ἐνθάδε, omitt. Ald. Margo: „*l.* habet ἤδη post εἰρηκότων, ut est ap. auctorem." τόνδε τὸν λόγον, Ald. Petr. Vict numeris vulgarem ordinem restituendum esse indicat. νόμ. λόγον τόνδε, v. tr. (sic.)

Post ὡς καλὸν inserui γ', ratione ab Uptono ad p. 234. reddita.

τὴν ante σύνθεσιν ab Ald. omissum in Marg. supplet.

Mox Margo: „ἔπειτα Κρητικοὶ, ὁ δὲ μετὰ τοῦτον, emendatum in *l.* mutato ordine verborum."

Paullo ante ὁ δὲ δ' ἀνάπαιστος, Ald.

Verba: ἀξιωματικοί — — διὰ ταῦτα absunt ab l.

ἑξῆς τουτί, *l.* ἑξ. τοῦτο, vulg.

Sequentia ita libri a me collati praebent: λόγ. τόνδε· δύο μὲν ὑποβακχείους, δύο δὲ συλλαβὴν, ἐφ' ᾗ τ. τ. κ., Ald. λ. τ. δύο μὲν ὑτερ., Κρητικὸν δὲ τὸν τρ., εἶτ' αὖθις ὑτερ. δύο,

Digitized by Google

πόδας ὑποβακχείους. Κρητικὸν δὲ τὸν τρίτον, εἶτ' αὖθις ὑποβακχείους δύο, καὶ συλλαβὴν, ὑφ' ἧς τελειοῦται τὸ κῶλον· ὥστ' εἰκότως σεμνόν ἐστι καὶ τοῦτο, ἐκ τῶν εὐγενεστάτων τε καὶ καλλίστων ῥυθμῶν συγκείμενον. Τὸ δὲ τρίτον κῶλον· „Ὡς καλὸν γ' ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν.“ ἄρχεται μὲν ἀπὸ τοῦ Κρητικοῦ ποδὸς, δεύτερον δὲ λαμβάνει τὸν ἀνάπαιστον, καὶ τρίτον σπονδεῖον, καὶ τέταρτον αὖθις ἀνάπαιστον, εἶτα δύο τοὺς ἑξῆς δακτύλους, καὶ σπονδείους δύο τοὺς τελευταίους, εἶτα κατάληξιν. Εὐγενὲς δὴ καὶ τοῦτο διὰ τοὺς πόδας γέγονε. Τὰ πλεῖστα δὲ ἐστι παρὰ Θουκυδίδῃ τοιαῦτα, μᾶλλον δὲ ὀλίγα μὴ οὕτως ἔχοντα· ὥστε εἰκότως ὑψηλὸς εἶναι δοκεῖ καὶ καλλιεπὴς καὶ εὐγενεῖς ἐπάγων τοὺς ῥυθμούς.

Τὴν δὲ δὴ Πλατωνικὴν λέξιν ταύτην τίνι ποτὲ

καὶ συλλ., *l.* Cum vulgata mea lectio concinnit, nisi quod ὅτι post λόγον τόνδε vulg. obvium eliminavi. Possis cum Uptono tueri, melius tamen abest, neque ab Ald. neque in l. agnoscitur. Ceterum ἐφ' ᾗ τ. τ. κ. etiam ex v. memoratur.

ἐκ τῶν συγγενεστάτων, Ald. Emendat. in Marg.

τὸ δὲ τρίτον κ., *l.* τὸ δὲ δὴ τρ. κ., vulg.

ὡς καλὸν γ', *l. v.* Upton. ad h. l. conf. supr. p. 297.

εὐγενὲς δὲ καὶ, l.

καὶ καλλίστων εὐγενείας, ὡς ἐκλέγων τοὺς ῥ., Ald. καὶ καλλιεπὴς καὶ εὐγενὴς, ὡς ἐκλέγων τ. ῥ., vulg. Quod in hac editione est, memoratur ex *l.*

ταύτην εἴ τινι ποτὲ, *l.*

Digitized by Google

ἄλλῳ κοσμηθεῖσαν, οὕτως ἀξιώματικὴν εἶναι φαίη τις ἂν καὶ καλὴν; ἐὰν μὴ τῷ συγκεῖσθαι διὰ τῶν καλλίστων τε καὶ ἀξιολογωτάτων ῥυθμῶν; ἔστι γὰρ δὴ τῶν πάνυ φανερῶν καὶ περιβοήτων, ἧ κέχρηται ὁ ἀνὴρ κατὰ τὴν τοῦ ἐπιταφίου ἀρχήν· „Ἔργῳ μὲν ἡμῖν οἷδ' ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς· ὧν τυχόντες, πορεύονται τὴν εἱμαρμένην παρεῖαν.“ Ἐν τούτοις δύο μέν ἐστιν, ἃ συμπληροῖ τὴν περίοδον, κῶλα· ῥυθμοὶ δὲ οἱ ταῦτα διαλαμβάνοντες, οἵδε, Βακχεῖος μὲν ὁ πρῶτος· οὐ γὰρ δή γε ὡς ἴαμβον ἀξιώσαιμ' ἄν ἔγωγε τὸ κῶλον τοῦτο ῥυθμίζειν, ἐνθυμούμενος, ὅτι οὐκ ἐπιτροχαλοὺς καὶ ταχεῖς, ἀλλ' ἀναβεβλημένους καὶ βραδεῖς τοῖς οἰκτιζομένοις προσῆκεν ἀποδίδοσθαι τοὺς χρόνους· σπουδεῖος δ' ὁ δεύτερος· ὁ δ' ἑξῆς δάκτυλος, διαιρουμένης τῆς συναλοιφῆς· εἶθ' ὁ μετὰ τοῦτον σπουδεῖος· ὁ δ' ἑξῆς μᾶλλον Κρητικὸς ἢ ἀνάπαιστος· ἔπειθ', ὡς ἡ ἐμὴ δόξα, σπον-

---

Verba: ῥυθμῶν — τῶν πάνυ absunt ab eod. libr.

Φανερὸν καὶ περιβόητον, idem.

τὸ κῶλον τοῦ τε ῥυθμ., Ald. Emendat. in Marg.

ἐπὶ τροχαλοὺς, Ald. Margo: „fort. ἐπιτροχαλοὺς. l.“

οἰκτιζομένοις προσήκει, l.

σπουδεῖος δὲ ὁ δεύτερος, l. ἐκ. δὲ ἕτερος, vulg.

εἶτα μετὰ τοῦτον, vulg.

εἶθ' ὁ μ. τ. l.

ἡ ante ἐμὴ δ. ab Ald. omissum supplet. in v.

Digitized by Google

καὶ αὐτοῖς δεῖος· ὁ δὲ τελευταῖος ὑποβάκχειος, εἰ δὲ βούλεταί τις, ἀνάπαιστος· εἶτα κατάληξις. Τούτων τῶν ῥυθμῶν οὐδεὶς ταπεινὸς, οὐδὲ ἀγενής. Τοῦ δὲ ἑξῆς κώλου τουδὶ· „Ὧν τυχόντες, πορεύονται τὴν εἱμαρμένην πορείαν·“ δύο μέν εἰσιν οἱ πρῶτοι πόδες Κρητικοὶ, σπονδεῖοι δὲ οἱ μετὰ τούτους δύο· μεθ' οὓς αὖθις Κρητικὸς, ἔπειτα τελευταῖος ὑποβάκχειος. Ἀνάγκη δὴ, τὸν ἐξ ἁπάντων συγκείμενον καλῶν ῥυθμῶν καλὸν εἶναι λόγου. Μυρία τοιαῦτά ἐστιν εὑρεῖν καὶ παρὰ Πλάτωνι· ὁ γὰρ ἀνὴρ εὐμέλειάν τε καὶ εὐρυθμίαν συνιδεῖν δαιμονιώτατος. Καὶ εἴ γε δεινὸς ἦν οὕτως ἐκλέξαι τὰ ὀνόματα, ὡς συνθεῖναι περιττὸς, καί νύ κεν ἢ παρέλασσε τὸν Δημοσθένην κάλλους ἑρμηνείας εἵνεκεν, ἢ ἀμφήρισταν ἔθηκε. νῦν δὲ δὴ περὶ μὲν τὴν ἐκλογήν ἐστιν ὅτε διαμαρτάνει,

---

ταπ. οὐδὲ ἀγενής. v. l. τ. οὐδεὶς ἀγ., vulg.

κώλου τουδὶ, l. τευδὶ vulg. et a v. abest.

Ἀνάγκη δὲ, Ald. Ἀ. δὴ, v. l.

τοιαῦτά ἐστιν εὑρεῖν, l. Vulg. εὑρεῖν omitt.

ἦν οὕτως ἐκλέξαι Ald. Emendat. in l. Schaefer. οὕτως primus ascivit ex Sylburgii coniectura.

„παρήλασσεν καὶ κάλλους ἑρμηνείας, sine sequente voce: εἵνεκεν.“ Marg. παρήλασε, mox κάλλος, MS. Δημοσθ. καὶ ἄλλους, Ald.

νῦν δὲ περὶ τὴν ἐκλ., id. Inter verss. adiectum est ante articulum μὴν.

ἐστιν ὅτε διαμαρτ., l. et MS. ἐστιν ἃ διαμ., vulg.

Digitized by Google

καὶ μάλιστα ἐν οἷς ἂν τὴν ὑψηλὴν καὶ περιττὴν καὶ ἐγκατάσκευον διώκῃ Φράσιν· ὑπὲρ ὧν ἑτέρωθί μοι δηλοῦται. Σαφέστερον δὲ συντίθησι τὰ ὀνόματα, καὶ ἡδέως, καὶ καλῶς νὴ Δία· καὶ οὐκ ἄν τις αὐτὸν ἔχοι κατὰ τοῦτο μέμψασθαι τὸ μέρος.

Ἑνὸς ἔτι παραθήσομαι λέξιν, ᾧ τὰ ἀριστεῖα τῆς ἐν λόγοις δεινότητος ἀποδίδωμι. Ὀρθῶς γὰρ δή τις ἐστὶν ἐκλογῆς τε ὀνομάτων καὶ κάλλους συνθέσεως ὁ Δημοσθένης. Ἐν δὴ τῷ περὶ τοῦ στεφάνου λόγῳ τρία μέν ἐστιν, ἃ τὴν πρώτην περίοδον συμπληροῖ, κῶλα· οἱ δὲ ταῦτα καταμετροῦντες οἵδε εἰσὶν οἱ ῥυθμοί· „Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις.“ Ἄρχει δὲ τοῦδε τοῦ κώλου Βακχεῖος ῥυθμὸς, ἔπειθ' ἕπεται σπονδεῖος, εἶτα ἀνάπαιστος, καὶ μετὰ τοῦτον ἕτερος σπονδεῖος, εἶθ' ἑξῆς Κρητικοὶ τρεῖς, σπονδεῖος δὲ ὁ τελευταῖος.

διώκῃ Φράσιν, Ald. Emendat. in *v. l.* Lectioni Aldi superscripta est nota libri: *H.*

σαφέστερον συντίθησι δὴ, *l.*

μέρ. ἐν οἷς παραθήσ., Ald. Emendat. in *l.*

λέξεις, ᾧ. Ald. Emendat. ibid.

δεινότ. ἀποδίδωμι, *l.* δ. καταδίδωμι, vulg.

οἱ δὲ εἰσὶν ῥυθ., Ald. οἱ ante ῥυθμοὶ etiam ab *l.* abest. Paullo ante οἱ δὲ κατὰ ταῦτα, Ald. Margo: „κατὰ abest ab *l.*“ Vulg. οἱ δὲ καὶ τ. Omisi καὶ ab Uptono primo invectum.

εἶτα Κρητ., *l.*

Digitized by Google

Τοῦ δὲ δευτέρου κώλου τοῦδε· „Ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν·“ πρῶτος μὲν Τροβάκχειός ἐστι πούς, εἶτα Βακχεῖος, εἰ δὲ βούλεταί τις, Δάκτυλος· ἔπειτα Κρητικός· μεθ' οὕς εἰσι δύο σύνθετοι πόδες, οἱ καλούμενοι Παίονες· οἷς ἕπεται Μολοττὸς, ἢ Βακχεῖος, ἐγχωρεῖ γὰρ ἑκατέρως αὐτὸν διαιρεῖν· τελευταῖος δὲ ὁ σπονδεῖος. Τοῦ δὲ τρίτου κώλου, τουδὶ· „Τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα·“ ἄρχουσι μὲν Τροβάκχειοι δύο, ἕπεται δὲ Κρητικὸς, ᾧ συνῆπται σπονδεῖος· εἶτ' αὖθις Βακχεῖος, ἢ Κρητικὸς, καὶ ὁ τελευταῖος πάλιν Κρητικὸς, εἶτα κατάληξις. Τί οὖν ἐκώλυε καλὴν ἁρμονίαν εἶναι λέξεως, ἐν ᾗ μήτε πυρρίχιός ἐστι πούς, μήτε Ἴαμβος, μήτε ἀμφίβραχυς, μήτε τῶν χορείων ἢ τῶν τροχαίων μηδείς; Καὶ οὐ λέγω τοῦτο, ὅτι τῶν ἀνδρῶν ἐκείνων ἕκαστος οὐ κέ-

cf. p. 219.

Paullo ante ad Δάκτυλος haec extat in Marg. adnotatio: „est dactylus, si αυ ut correpta capiatur.“ Παιᾶνες, *l.* Παιῶνες, Ald.

ἑκατέρως αὐτῶν, *l.* ἑκατέρους αὐτὸν, vulg.

αὐτὸν διαιρεῖσθαι, Ald. Emendat. in *l.*

κώλ. τουδί, *l.* κ. τοῦ, vulg.

ἕπεται δὲ Κρ., Marg. ἔπειτα Κρ., vulg. ἔπειτα δὲ Κρ., Ald.

ἐστι post Πυρρίχιος ab Ald. omissum additur in Marg.

μήτε Ἴαμβος, *l.* μ. ἰαμβικὸς, vulg.

articulus ante τροχαίων linea notatur.

Digitized by Google

χρηταί ποτε καὶ τοῖς ἀγενεστέροις ῥυθμοῖς· κέχρηται γάρ· ἀλλ' εὖ συγκεκρύφασιν αὐτοὺς καὶ συνυφάγκασι, διαλαβόντες τοῖς κρείττοσι τοὺς χείρονας.

Οἷς δὲ μὴ ἐγένετο πρόνοια τούτου τοῦ μέρους, οἱ μὲν ταπεινάς, οἱ δὲ κατακεκλασμένας, οἱ δὲ ἄλλην τινὰ αἰσχύνην καὶ ἀμορφίαν ἐχούσας ἐξήνεγκαν τὰς γραφάς. Ὧν ἐστι πρῶτός τε καὶ τελευταῖος καὶ μέσος ὁ Μάγνης ὁ σοφιστὴς Ἡγησίας· ὑπὲρ οὗ, μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς ἅπαντας, οὐκ οἶδ' ὅ,τι χρὴ λέγειν, πότερον τοσαύτη περὶ αὐτὸν ἦν ἀναισθησία καὶ παχύτης, ὥστε μὴ

συσυγκεκρύφασιν, Ald. Emendat. in *l.*

articulus ante *μέρους* Aldinae additur ex *v. l.*

οἱ δὲ κατακεκλεισμένας, *l.*

αἰσχύνην καὶ ἀμορφίαν, vulg. *αἰσχ. ἢ ἀμορφ.*, vulg.

ἐχούσαις ἐξ., Ald. Emendat. in Marg.

πρῶτός τε καὶ μέσ. κ. τελ. hic est ordo numeris a P. Victor. indicatus. Non opus est, eum mutes. Schaefer. ad h. l. „Theocritus XVII. 3. *ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω, Καὶ πύματος, καὶ μέσσος· ὁ γὰρ προφερέστατος ἀνδρῶν.*" Plane inverso ordine ab Uptono laudatus Dio Chrysostomus: *Ὅμηρος καὶ μέσος καὶ ὕστατος καὶ πρῶτος, παντὶ παιδὶ καὶ ἀνδρὶ καὶ γέροντι.*

Articulum ante *σοφιστὴς* addidi ex *l.*

οὐκ οἶδά τι χρ., idem.

πότερα τοσαύτη, Ald. *πότερα τοσ.*, Marg.

περὶ αὐτὸν τοσαύτην ἦν, Ald. Emendat. in *v. l.*

καὶ ταχύτης, ὥστε, Ald. Emendat. ibid. Ap. Strabon. p. 977. C. Almel. bis legitur *παχυστομούντων*. Eustath.

Digitized by Google

συνορῶν, οἵτινές εἰσιν εὐγενεῖς ἢ ἀγενεῖς ῥυθμοὶ, ἢ τοσαύτη θεοβλάβεια καὶ διαφθορὰ τῶν φρενῶν, ὥστε εἰδότα τοὺς κρείττους, ἔπειτα αἱρεῖσθαι τοὺς χείρονας· ὃ καὶ μᾶλλον πείθομαι. Ἀγνοίας μὲν γάρ ἐστι καὶ τὸ κατορθοῦν πολλαχοῦ· προνοίας δὲ, τὸ μηδέποτε. Ἐν γοῦν ταῖς τοσαύταις γραφαῖς, ἃς καταλέλοιπεν ὁ ἀνὴρ, μίαν οὐκ ἂν εὕροι τις σελίδα συγκειμένην εὐτυχῶς· ἔοικε δὲ ταῦτα ὑπολαβεῖν ἐκείνων κρείττω, καὶ μετὰ σπουδῆς αὐτὰ ποιεῖν, εἰς ἃ δι' ἀνάγκην ἄν τις ἐμπεσὼν ἐν λόγῳ σχεδίῳ δι' αἰσχύνης ἔθετο φρόνημα ἔχων ἀνήρ. Θήσω δὲ καὶ τούτου λέξιν ἐκ τῆς ἱστορίας, ἵνα σοὶ γένηται δῆλον ἐκ τῆς ἀντιπαραθέσεως, ὅσην μὲν ἀξίωσιν ἔχει τὸ εὐγενὲς ἐν ῥυθμοῖς, ὅσην δὲ αἰσχύνην τὸ ἀγενές.

Ἔστι δὲ ὃ λαμβάνει πρᾶγμα ὁ σοφιστής τοιόν-

---

ad Homer. Il. p. 367. hunc Geographi locum in compendium redactum ita refert: τῶν γοῦν τραχυστομούντων ἐνταῦθεν (scr. ἐντεῦθεν.) βαρβάρων λεγομένων, ἐπειδὴ καθ' ὅλην οἱ Κάρες ἐπλανήθησαν τὴν Ἑλλάδα μισθοῦ στρατεύοντες καὶ ἐγνωρίσθησαν, πυκνὸν ἦν ἐπ' αὐτοῖς τὸ βαρβαρόφωνον.

ἐκεῖνον κρείττω ex v. in Marg. erat, sed postea abrasum est.

αἰσχ. θεῖτο φρόν., l.

δῆλ. ἐκ τῆς ἀντιπαραθ., id. lib. Vulg. articulum omitt.

ἀγεννὴς Ald. altero ν a Petr. Victor. addito.

Ἔστι δὲ ὁ λαμβ., l. Τί δὲ — σοφιστὴς; vulg. Signum interrogandi etiam ab Aldin. abest.

Digitized by Google

δε. Ἀλέξανδρος, πολιορκῶν Γάζαν, χωρίον τι τῆς Συρίας πάνυ ἐχυρὸν, τραυματίας τε γίνεται κατὰ τὴν προσβολὴν, καὶ τὸ χωρίον αἱρεῖ χρόνῳ. Φερό-

---

Γάζον, *l.*

πάνυ εὐχερῶς, id.

αἱρεῖ χρόνῳ. Φερόμενος δ' ὑπ' ὀργ., *l.* αἱρ. χρ. Φερόμ. Ὁ δ' ὑπ' ὀργ., vulg. (Hunc locum video iam a Valckenario ad Theocrit. Adonin. p. 210. ed. Lugd. emendatum esse his verbis: „Absque ὡς positum, χρόνῳ significat in talibus *tandem*: una litera omissa, sic scribi verba debent Dionys. Halicarn. T. II. p. 33, 25. τὸ χωρίον αἱρεῖ χρόνῳ. Φερόμενος δ' ὑπ' ὀργῆς etc. nonnulla notavi in Eurip. Phoeniss. v. 313. conf. Bergler. in Aristophan. Nubb. v. 66.") Similiter emendata interpunctione illustrabo locum Thucydideum, V. 83. κατέκλεισαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ Μακεδόνας Περδίκκου, ἐπικαλοῦντες τήν τε πρὸς Ἀργείους καὶ Λακεδαιμονίους γενομένην ξυνωμοσίαν, etc. Veram huius loci lectionem Scholiasten cognitam habuisse, haec ab eo prolata interpretatio indicat: κατέκλεισαν, τουτέστι, τῶν εἰσαγωγίμων, ἢ τῆς θαλάσσης αὐτοὺς ἀπέκλεισαν. Portus adnott. ad h. l. (T. VI. p. 255. Bip.) Scholiasten ex scriptore, quam hunc ex illo emendare maluit. Tu hunc locum refictum ita distingue: κατέκλεισαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ Μακεδόνας Ἀθηναῖοι, Περδίκκᾳ ἐπικαλοῦντες, etc. „millies enim ι adscriptum in υ abiit." Schaefer. Melet. crit. p. 109. Quin accusativus ferri potest, coll. Xenoph. Cyr. Disc. VII. 2. 22. οὐκ αἰτιῶμαι δέ τάδε τὸν θεόν. Sophocl. Aiac. 1096. καὶ τὰ σαυτοῦ ἔτη κόλαζ' ἐκείνους. v. Matth. Gr. Gr. p. 563. n. 3. Huc refero tentamen in locum Ammonii. Incerti vel Callimachi sit.

Digitized by Google

μενος δ' ὑπ' ὀργῆς τοὺς τ' ἐγκαταληφθέντας ἀποσφάττει πάντας, ἐπιτρέψας τοῖς Μακεδόσι τὸν ἐντυ-

---

spicatur Valckenarius fragmentum esse, quod ap. eum occurrit p. 103. Ὀλίγον καὶ Μικρὸν διαφέρει. τὸ μὲν γὰρ Ὀλίγον, ἐπ' ἀριθμοῦ, τὸ δὲ Μικρὸν, ἐπὶ μεγέθους τάσσεται. Ἀριστόνικος ἐν ὑπομνήματι, ἐκάλεσ' ἐπὶ στοιχείου, ὀλίγην νησίδα Καλυψοῦς, φασὶ δὲ οὕτως ὀλίγην μικρὰν ὑπαλλακτικῶς. etc. Elegantissima est Valckenarii coniectura: Ἀριστόνικος ἐν ὑπομνήματι Ἐκάλης· ἐπὶ στοίχου· ὀλίγην ν. Κ. φησὶν αὕτως. Quid si scribas: Ἀ. ἐν ὑπ. Ἐκ. „ἐπιστείχει ὀλίγῃ. νησῖῃ δή Κ." ceteris intactis, ut postrema verba sint Aristonici? (Ceterum nihil frequentius φασὶ et φησὶ commutatis, ut ap. Lucian. T. III. p. 268. ὀστράκου, φησὶ, μεταπεσόντος. Leg. φασὶ. Plutarch. V. Alex. 37. Repone φησὶ. ib. 65. T. IV. p. 341. fort. (pluralis est praeferendus.) Exemplis a Valckenario allatis haec possunt addi: Pseudophocyl. 158. Br. p. 117. Φῦλον δ' ὀλίγον τελέῖ πολύμοχθον. Timon. Sillogr. ap. Gell. N. A. III. 17. (cf. Schol. Platon. p. 200. Ruhnk.) Καὶ σὺ, Πλάτων· καὶ γάρ σε μαθητὴν ὁ ποθὸς ἔσχε, Πολλῶν δ' ἀργυρίων ὀλίγην ἠλλάξαο βίβλον. Arrian. Exp. Al. M. p. 267. Amst. τὴν ὀλίγην ὄρυγα καὶ μείζονα distinguit. Homer. ap. Aristotel. d. Poet. XXII. 13. καὶ, νῦν δὲ μ' ἐὼν ὀλίγος τε καὶ οὐτιδανὸς καὶ ἄμικυς (Od. IX. 515.) εἴτις λέγοι τὰ ῥύρια μετατιθείς, νῦν δὲ μ' ἐὼν μικρός τε καὶ ἀσθενικὸς καὶ ἀειδής· καὶ, δίφρον ἀεικέλιον καταθεὶς ὀλίγην τε τράπεζαν· (Od. XX. 259.) δίφρον μοχθηρὸν καταθεὶς μικράν τε τράπεζαν. Theocr. Idyll. XXII. 113. ἐκ μεγάλου δὲ Αἶψ' ὀλίγος γένετ' ἀνδρὸς. cf. 180. I. 47. XXVIII. 25. Ut ὀλίγος et μικρὸς, ita πολὺς, μεγὰς, μακρὸς miscentur. Ut ap. Thucyd. VIII. 13. πολ-

p. 298

Digitized by Google

χόντα κτείνειν, καὶ τὸν ἡγεμόνα αὐτὸν αἰχμάλωτον λαβὼν, ἄνδρα ἐν ἀξιώματι καὶ τύχης καὶ εἴδους, ἐξ ἁρματείου δίφρου δῆσαι κελεύσας ζῶντα, καὶ τοὺς ἵππους ἐλαύνειν ἀνὰ κράτος, ἐν τῇ πάντων ὄψει διαφθείρει. Τούτων οὐκ ἂν ἔχοι τις εἰπεῖν δεινότερα πάθη, οὐδὲ ὄψει φοβερώτερα. Πῶς δὴ ταῦτα ἡρμήνευκεν ὁ σοφιστὴς, ἄξιον ἰδεῖν, πότερον σεμνῶς καὶ ὑψηλῶς, ἢ ταπεινῶς καὶ καταγελάστως.

„Ὁ δὲ βασιλεὺς ἔχων τὸ σύνταγμα προηγεῖτο, καὶ πως ἐβεβούλευτο τῶν πολεμίων τοῖς ἀρίστοις ἀπαντᾶν ἐπιών. Τοῦτο γὰρ ἔγνωστο, κρατήσασιν

λὴ δὲ ἡ Σικελία, *ampla vasta est Sicilia.* VI. 34. τὸ δὲ πέλαγος πολὺ αὐτοῖς περαιοῦσθαι. II. 48. καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλὴν, ubi perperam vertunt: *et in magnam partem regionis Regis Persarum.* Quem locum, pravum eius imitatorem cavillans, laudat Lucian. T. IV. p. 177., ubi item minus recte Gesnerus: *et in regis terras multas.* Ita *magnus* pro *multus* et contra Latini usurpant. v. Dorv. ad Charit. p. 464 et 317. Huschk. ad Tibull. Eleg. I. p. 2.

τούς τε καταλειφθέντας, *l.* καὶ ante τύχης abest ab eod.

ἐλαύνειν ἀνὰ κράτ., Ald. ἐλαύνων ἀν. κρ., vulg.

διαφθείρει. Τούτων οὐκ ἂν ἔχ., *v. l.* διαφθ. τοῦτον. Οὐκ ἂν ἔχ., vulg.

οὐδ' ὄψει φοβερωτέρα (scr. φοβερώτερα.), *l.* οὐδὲ ὄψεις φοβερωτέρας.

καὶ πως ἐβουλεύετο, Ald. et *l.* Vulgata memoratur ex *v.*

Mox Margo: „ἐπιών sine praecedente voce.“ ἀπαντᾶν sc. εἰςιών, vulg.

p. 298.

Digitized by Google

ἑνὸς, συνεκβάλλειν καὶ τὸ πλῆθος. Ἡ μὲν οὖν ἐλπὶς αὕτη συνέδραμεν εἰς τὸ τολμᾶν, ὥστε Ἀλέξανδρον μηδέποτε κινδυνεῦσαι πρότερον οὕτως. Ἀνὴρ γὰρ τῶν πολεμίων, εἰς γόνατα συγκαθίσας, ἔδοξε τοῦτ' Ἀλεξάνδρῳ ἱκετείας ἕνεκα πρᾶξαι. Προσέμενος δ' ἐγγὺς, μικρὸν ἐκνεύει τὸ ξίφος ἐνέγκαντος ὑπὸ τὰ πτερύγια τοῦ θώρακος, ὥστε γενέσθαι τὴν πληγὴν οὐ καιριωτάτην. Ἀλλὰ τὸν μὲν αὐτὸς ἀπώλεσε, κατὰ κεφαλῆς τύπτων τῇ μαχαίρᾳ· τοὺς δ' ἄλλους ὀργὴ πρόσφατος ἐπίμπρα. Οὕτως ἄρα ἑκάστου τὸν ἔλεον ἐξέστησεν ἡ τοῦ τολμήσαντος ἀπόνοια, τῶν μὲν ἰδόντων, τῶν δ' ἀκουσάντων, ὥστε ἑξακις-

---

συνεκβαλεῖν κ. τ. πλῆθος, *l.* Margo: „tria haec verba: εἰς τὸ τολμᾶν absunt ab *l.*"

πρότερον ἢ οὕτως, *l.*

γόνατα συγκαθίσας, id. συγκαμφθεὶς, vulg.

articulum ante ἱκετείας omisi ex eiusdem libri auctoritate.

προσέμενος, *l.* προϊέμενος *v.* et vulg. προσέμενοι, Ald.

ἐνέγκ., id. cum lacuna post has literas. ἐνάγκαντος, Marg. vulgatam praebet *l.*

ἐπὶ τὰ πτερ., Marg.

καὶ, quod vulg. ante τὴν πληγὴν extat, ab *l.* abest.

ὀργῇ πρόσφ., Ald. Emendat. in *l.*

ἐπίμπρα, *l.* ἐπίμπρατο, vulg. προσφ. ἐπὶ παλαιαῖς, Ald.

οὕτως ἄρα ἑκ., *l.* οὕτω γὰρ ἑκ., vulg.

ἐξήτασεν ἡ τοῦ τολμήματος ἀπόν., *l.*

τῶν μὲν ἰδότων, Ald. Emendat. in *v. l.* Sylburg. ad h. l. „Exemplar habet ἰδότων: errore ambiguo." Jam si Aldina usus est, qui fieri

Digitized by Google

χιλίους ὑπὸ τὴν σάλπιγγα ἐκείνην τῶν βαρβάρων κατακοπῆναι. Τὸν μέντοι Βασιλέα αὐτὸν ἀνήγαγον ζῶντα Λεωνάτος καὶ Φιλωτᾶς. Ἰδὼν δὲ πολύσαρκον, καὶ μέγαν, καὶ βδελυρώτατον· μέλας γὰρ ἦν τὸ χρῶμα· μισήσας ἐφ' οἷς ἐβεβούλευτο καὶ τὸ εἶδος, ἐκέλευσε διὰ τῶν ποδῶν χαλκοῦν ψαλίον διείραντας, ἕλκειν κύκλῳ γυμνόν. Πιλούμενος δὲ κακοῖς περὶ πολλὰς τραχύτητας ἔκραζεν. Αὐτὸ δ' ἦν, ὃ λέγω, τὸ συνάγον ἀνθρώπους. Ἐπέτεινε μὲν γὰρ ὁ πόνος, βάρβαρον δ' ἐβόα δεσπότην, καὶ ἱκετεύων· γελᾶν δὲ ὁ σολοικισμὸς ἐποίει. Τὸ δὲ στέαρ καὶ τὰ κύτος

---

potuit, ut lectiones in ea obvias tot tam praestantes negligeret?

ὥστε τετρακισχιλίους, Ald. Ex *l.* vulgata memoratur.

Λεονάτος, Ald.

μέγαν καὶ βδελυρώτατον, *l.* μ. ὡς βδ., vulg. μέγ. ὡς βλοσυρώτατον, Ald.

μέγας γὰρ ἦν καὶ τὸ χρῶμα, Ald. μέλας γὰρ ἦν., *v. l.* ἦν τὰ σῶμα, *l.* omisso καί. Σῶμα iis deberi videtur, qui cum μέγας legerent, verbo ad μέγας accommodato egebant. Vulg. colo distinguunt post χρῶμα, commate post ἐβεβούλευτο. *p. 298.*

βεβούλευτο, *l.* ἐβούλευτο, Ald. Emendat. in *v.*

χαλκοῦν ψηλί ου, Marg.

ἔκραξεν, *l.* Vulgat. in *v.*

αὐτοδηναλέγοντος συναγάγων, Ald. αὐτοδηνολέγω τὸ συνάγον, Marg.

τὸ δὲ κῦτος, Ald.

n. τῆς σαρκὸς, *l.*

Digitized by Google

τῆς γαστρὸς ἐνέφαινε Βαβυλώνιον ζῶον ἕτερον ἀνδρόν. Ὁ μὲν οὖν ὄχλος ἐνέπαιζε, στρατιωτικὴν ὕβριν ὑβρίζων εἰδεχθῆ καὶ τῷ τρόπῳ σκαιὸν ἐχθρόν."

Ἆρά γε ὅμοια ταῦτά ἐστι τοῖς Ὁμηρικοῖς ἐκείνοις, ἐν οἷς Ἀχιλλεύς ἐστιν αἰκιζόμενος Ἕκτορα μετὰ τὴν τελευτήν; Καίτοιγε πάθος ἐκείνου ἔλαττον· εἰς ἀναίσθητον γὰρ σῶμα ἡ ὕβρις. Ἀλλ' ὅμως ἄξιόν ἐστιν ἰδεῖν, πόσῳ διενήνοχεν ὁ ποιητὴς τοῦ σοφιστοῦ.

Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντας
Ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
Ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν·
Ἐς δίφρον δ' ἀναβὰς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας,
Μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἀέκοντε πετέσθην.
Τοῦ δ' ἦν ἑλκομένοιο κονίσαλος· ἀμφὶ δὲ χαῖται
Κυάνεαι πίπλαντο, κάρη δ' ἅπαν ἐν κονίῃσι

ἀνεφαίνετο Βαβυλ., Ald. ἀνέφαινε, Marg.

ζ ἕτερον ἀνδρὸς, Ald. Emendat. in *l.*

ὄχλ. ἐνέπαιζε, Ald. ὄχλ. ἔπαιζε, *l.* ὀχλ. ἐνέπαιζεν, *v.*

εἰδεχθῆ, Ald. Emendat. in Marg.

τελ. καὶ πάθος ἐκ., *l.*

ἐκεῖνο ἔλατ., Ald.

ἄξιον ἰδεῖν πόσῳ,, Ald. ἄξ. ἐστιν ἰδεῖν ὅσῳ, *l.*

v. 2. τένοντας. Marg. „ap. Homer. τένοντε. *l.*"

v. 4. ἕλκεσθαι ἔδησεν, *l.*

v. 8. ἐν κονίσῃσι, Ald. Emendat. in Marg.

Digitized by Google

Κεῖτο, πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
Δῶκεν ἀεικίσσασθαι ἐῇ ἐν πατρίδι γαίῃ.
Ὡς τοῦ μὲν κεκόμιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
Τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
Τηλόσε· κώκυσεν δὲ μάλα μέγα, παῖδ' ἐσιδοῦσα.
Ὤιμωξεν δ' ἐλεεινὰ πατὴρ Φίλος, ἀμφὶ δὲ λαοὶ
Κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ.
Τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.

Οὕτως εὐγενὲς σῶμα καὶ δεινὰ πάθη λέγεσθαι προσῆκεν ὑπ' ἀνδρῶν φρόνημα καὶ νοῦν ἐχόντων. Ὡς δὲ ὁ Μάγνης εἴρηκεν, ὡς ὑπὸ γυναικῶν ἢ κατεαγότων ἀνθρώπων λέγοιτ' ἄν, καὶ οὐδὲ τούτων μετὰ σπουδῆς, ἀλλ' ἐπὶ χλευασμῷ καὶ καταγέλωτι. Τί οὖν αἴτιον ἦν ἐκείναν μὲν τῶν ποιημάτων τῆς εὐγενείας, τούτων δὲ τῶν φλυαρημάτων τῆς ταπεινότητος; ἢ τῶν ῥυθμῶν διαφορὰ πάντων μάλιστα, καὶ εἰ μὴ p. 298

---

v. 11. κεκόνι το, Ald. κεκόνιστο, Marg.

v. 12. τεῖλε κόμην, Ald. Emendat. in *l.*

v. 13. κώκυσε, Ald.

v. 14. ὤμωξε, id. Correx. P. Viet.

v. 16. ὡσεὶ ἅπασα, Ald.

v. 17. σμώχοιτο, Ald. σμήχοιτο, Marg.

οὕτως εὐγενὲς σῶμα, *l.* καὶ δεινὰ πάθη, Ald. οὕτ. εὐγενῶς ἅμα κ. δεινῶς πάθ. p. 298.

ἦν post αἴτιον adieci ex *l.*

τῶν. ποιητῶν τ. εὐγ., Ald. Emendat. in *v. l.*

πάντων ante μάλιστα adieci ex *l.*

καὶ εἰ μὴ μόνη ex Aldin.

Digitized by Google

μόνη. Ἐν ἐκείνοις μὲν γὰρ οὐδὲ εἷς στίχος ἄσεμνος, οὐδ' ἀδόκιμος· ἐνταῦθα δὲ οὐδεμία περίοδος, ἥτις οὐ λυπήσει. Εἰρηκὼς δὴ καὶ περὶ τῶν ῥυθμῶν, ὅσην δύναμιν ἔχουσιν, ἐπὶ τὰ λειπόμενα μεταβήσομαι.

ΤΜΗΜΑ ιθ'.

Μεταβολαῖς ποικίλλειν τὴν σύνθεσιν πῶς δεῖ· καὶ λέξις κρατίστη τίς.

Ἡν δέ μοι τρίτον θεώρημα τῶν ποιούντων τὴν καλὴν ἁρμονίαν ἡ μεταβολή. Λέγω δὲ οὐ τὴν ἐκ τῶν κρειττόνων ἐπὶ τὰ χείρω· πάνυ γὰρ εὔηθες· οὐδέ γε τὴν ἐκ τῶν χειρόνων ἐπὶ τὰ κρείττω· ἀλλὰ τὴν ἐν τοῖς ὁμοειδέσι ποικιλίαν. Κόρον γὰρ ἔχει καὶ τὰ καλὰ πάντα, ὥςπερ καὶ τὰ ἡδέα, μένοντα ἐν τῇ ταυτότητι· ποικιλλόμενα δὲ ταῖς μεταβολαῖς [ὡς] ἀεὶ

---

pro εἰ καὶ μ. μ. revocavi. v. Schaef. Melet. crit. p. 34.

ἐν ante ἐκείνοις ab Ald. omissum inter verss. additur.

οὐδὲ εἷς στίχος ἄσεμνος· ἐνταῦθα etc. Ald. οὐδ. εἷς ἄσημος στίχος ἢ ἀδόκ. ἐντ.

p. 298.

εἰρηκὼς δὴ, *l.* εἰρ. δὲ, vulg.

Sect. XIX. ἦν δή μοι τρίτ. θ., *l.* ἦν δέ μοι γοῦν θ., Ald. τῶν ποιητῶν τὴν κ., idem. τ. ποιούντων τῶν κ., v. τῶν ποιούντων καλ., *l.*

πάντα ante ὥςπερ ab Ald. omissum additur ex *l.*

ὄντα ἐν τῇ ταυτότ., *l.* et MS. conf. p. 56.

ποικιλλόμενα δὲ ταῖς μεταβ. ἀεὶ καινὰ, MS. ποικ. δ' ἐν ταῖς μεταβ. ὡς ἀεὶ κ., vulg. Seclusi ὡς.

Digitized by Google

καινὰ μένει. Τοῖς μὲν οὖν τὰ μέτρα καὶ τὰ μέλη γράφουσιν οὐχ ἅπαντα ἔξεστι μεταβάλλειν, ἢ οὐχ ἅπασιν, οὐδ' ἐφ' ὅσον βούλονται. Αὐτίκα τοῖς μὲν ἐποποιοῖς μέτρον οὐκ ἔξεστι μεταβάλλειν, ἀλλ' ἀνάγκη πάντας εἶναι τοὺς στίχους ἑξαμέτρους· οὐδέ γε ῥυθμὸν, ἀλλά τοῖς ἀπὸ μακρᾶς ἀρχομένοις συλλαβῆς χρήσονται, καὶ οὐδὲ τούτοις ἅπασι· τοῖς δὲ τὰ μέλη γράφουσι τὸ μὲν τῶν στροφῶν τε καὶ ἀντιστρόφων οὐχ οἷόν τε ἀλλάξαι μέλος, ἀλλ' ἐάν τε ἐναρμονίους, ἐάν τε χρωματικὰς, ἐάν τε διατόνους ὑπόθωνται μελῳδίας, ἐν πάσαις δεῖ ταῖς στροφαῖς τε καὶ ἀντιστρόφοις τὰς αὐτὰς ἀγωγὰς φυλάττειν· οὐδέ γε τοὺς περιέχοντας ὅλας τὰς στροφὰς ῥυθμοὺς καὶ τὰς ἀντιστροφὰς, ἀλλὰ δεῖ καὶ τούτους τοὺς αὐτοὺς διαμένειν· περὶ δὲ τὰς καλουμένας ἐπῳδοὺς ἀμφότερα κινεῖν ταῦτα ἔξεστι, τό τε μέλος καὶ τὸν ῥυθμόν· τά τε κῶλα, ἐξ ὧν ἑκάστη συνέστηκε περίοδος, ἐπὶ πολλῆς p. 298.

---

ante Τοῖς μὲν οὖν vulg. legitur ἐν, quod ex auctoritate MSi et *l.* omisi.

στίχους ἀμέτρους, Ald. Emendat. in *v. l.*

καὶ ante οὐδὲ ταύτ. ab Ald. omissum suppletur in *v. l.*

ποιῶνται μελῳδίας, MS.

δεῖται στροφαῖς, *v.* τε post στροφαῖς om. MS.

καλουμ. ἐπῳδὰς, Ald. Emendat. in *v. l.*

ὧν συνέστηκε περ., *l.* ὧν συνές. π. ἑκάστη, MS., qui verba: ἐπὶ πολλῆς — διαιρεῖν omitt.

Digitized by Google

ἐξουσίας δέδοται αὐτοῖς ποικίλως διαιρεῖν, ἄλλοτε ἄλλα μεγέθη καὶ σχήματα αὐταῖς περιτιθέντας, ἕως ἂν ἀπαρτίσωσι τὴν στροφήν· ἔπειτα πάλιν δεῖ τὰ αὐτὰ μέτρα καὶ κῶλα ποιεῖν. Οἱ μὲν οὖν ἀρχαῖοι μελοποιοὶ, λέγω δὲ Ἀλκαίου τε καὶ Σαπφὼ, μικρὰς ἐποιοῦντο στροφὰς, ὥστ' ἐν ὀλίγοις τοῖς κώλοις οὐ πολλὰς εἰσῆγον τὰς μεταβολὰς, ἐπῳδοῖς τε πάνυ ἐχρῶντο ὀλίγαις· οἱ δὲ περὶ Στησίχορόν τε καὶ Πίνδαρον, μείζους ἐργασάμενοι τὰς περιόδους, εἰς πολλὰ μέτρα καὶ κῶλα διένειμαν αὐτὰς, οὐκ ἄλλου τινὸς ἢ τῆς μεταβολῆς ἕρωτι. Οἱ δέ γε Διθυραμβοποιοὶ καὶ τοὺς τρόπους μετέβαλλον, Δωρικούς τε καὶ Φρυγίους καὶ Λυδίους ἐν τῷ αὐτῷ ἅσματι ποιοῦντες· καὶ τὰς μελῳδίας ἐξήλλαττον, τοτὲ μὲν ἐναρμονίους ποιοῦντες, τοτὲ δὲ χρωματικὰς, τοτὲ δὲ διατόνους· καὶ

σχήματα αὐτοῖς περιτ. MS. et *l.*

ἁπαρτήσωσι τ. στροφ., Ald.

δὲ ante Ἀλκαίου om. MS.

ὥσ' ἐν ὀλίγοις, MS., ὥστε ἐν ὀλίγ., vulg.

ἐχρῶντο λόγοις, Ald. ἐχρ. ὀλίγαις, *v. l.*

διένειμαν αὐτούς, *l.*

Post vocabulum αὐτὰς MS. orationem continuat his verbis: μεταβολῆς ἕρωτι. Οἱ δὲ, etc.

διθυρανβοποιοὶ, Ald. Corrig. P. Victor.

Δωρικοὺς, Ald. Δωρίους, vulg.

Paullo ante μετέβαλον, MS. αὐτῶν ἅσμ., Ald.

οἵ τε κατὰ Φ., idem. οἵ γε κατὰ Φ., *v. l.*

Digitized by Google

τοῖς ῥυθμοῖς κατὰ πολλὴν ἄδειαν ἐξουσιάζοντες διετέλουν, οἵ γε δὴ κατὰ Φιλόξενον καὶ Τιμόθεον καὶ Τελέστην· ἐπεὶ παρά γε τοῖς ἀρχαίοις τεταγμένος ἦν καὶ ὁ Διθύραμβος. Ἡ δὲ στεζὴ λέξις ἅπασαν ἐλευθερίαν ἔχει καὶ ἄδειαν ποικίλλειν ταῖς μεταβολαῖς τὴν σύνθεσιν, ὅπως βούλεται. Καὶ ἔστι λέξις κρατίστη πασῶν, ἥτις ἂν ἔχῃ πλείστας ἀναπαύλας τε καὶ μεταβολὰς ἁρμονίας, ὅταν τουτὶ μὲν ἐν περιόδῳ λέγηται, τουτὶ δὲ ἔξω περιόδου· καὶ ἥδε μὲν ἡ περίοδος ἐκ πλειόνων πλέκηται κώλων, ἥδε δὲ ἐξ ἐλαττόνων· αὐτῶν δὲ τῶν κώλων τὸ μὲν βραχύτερον ᾖ, τὸ δὲ μακρότερον· καὶ τὸ μὲν αὐτῶν ὀργότερον, τὸ δὲ βραδύτερον, καὶ τὸ μὲν αὐτουργότερον, τὸ δὲ ἀκριβέ-

---

καὶ ὁ Δ., *l.* vulg. omitt.

καὶ. Marg: „π. Ἀντιστρόφων in cantu Aristotel. Προβλ. 65. διὸ καὶ οἱ Διθυραμβοποιοὶ, ἐπειδὴ μιμητικοὶ ἐγένοντο, οὐκ ἔτι ἔχουσιν Ἀντιστρόφους.“

καὶ ἄδειαν absunt a MSo, De dithyrambo antistrophis carente disputat Hermann. ad Aristot. de Poet. p. 89.

ἥτις ἂν ἔχῃ, *l.* ἥτ. ἂν ἔχοι, vulg.

μεταβολὰς ἐναρμονίους, *l.* et MS.

περιόδ. λέγεται, Marg. περιόδ. πλέκεται, MS.

βραχύτερόν τι ᾖ, *l.*

αὐτῶν ante ὀργότερον non agnoscit MS.

Verba: καὶ τὸ μὲν αὐτουργότερον ex *l.* adieci post βραδύτερον, quod est membrum alteri τὸ δὲ ἀκρ. respondens. Utrumque membrum a MSo. abest. Αὐτουργὸς hic accipe pro αὐτοσχέδιος, quo sensu

στερον· ῥυθμοί τε ἄλλοτε ἄλλοι, καὶ σχήματα αὐτοῖα, καὶ τάσεις φωνῆς αἱ καλούμεναι προσῳδίαι διάφοροι, κλέπτουσαι τῇ ποικιλίᾳ τὸν κόρον. Ἔχει δέ τινα
p. 298. χάριν ἐν τοῖς τοιούτοις καὶ τὸ οὕτω συγκείμενον, ὥστε μὴ συγκεῖσθαι δοκεῖν. Οὐ πολλῶν δὲ οἶμαι δεῖν λόγων εἰς τοῦτο τὸ μέρος· ὅτι γὰρ ἡδιστόν τε καὶ κάλλιστον ἐν λόγοις ἡ μεταβολὴ, πάντας εἰδέναι πείθομαι.

Παράδειγμα δὲ αὐτῆς ποιοῦμαι πᾶσαν μὲν τὴν Ἡροδότου λέξιν, πᾶσαν δὲ τὴν Πλάτωνος, πᾶσαν δὲ τὴν Δημοσθένους. Ἀμήχανον γὰρ εὑρεῖν τούτων ἑτέρους ἐπεισοδίοις τε πλείοσι, καὶ ποικιλίαις εὑροω-

---

ap. Lycophron. Cassandr. 747. occurrit αὐτουργότευκτον. Schol. αὐτουργότευκτον· αὐτοσχέδιον. In Ep. Qu. Mageii Anal. II. p. 283. (v. Henr. Stephan. Thes. L. Gr. et Suid. Lex. s. v.) simile vocabulum αὐτουργητὸς eodem sensu usurpatur. αὐτοποίητον, αὐτελές. Hesych. Cf. Hemsterh. ad Polluc. T. II. p. 1285. a.

τινα ante χάριν MS. ἐν post χάριν *l.* non agnoscunt.

Καὶ οὐ πολλῶν δεῖν οἶμαι λόγων, *l.*

articulum ante μεταβολὴ omitt. Ald.

παράδ. τῆς τοιαύτης μεταβολῆς ποιοῦμαι, MS. Verba παράδειγμα δὲ αὐτῆς ποιοῦμαι, ab Aldo omissa, supplentur ex *l.*

ἀδύνατον γὰρ, *l.* et MS.

εὐρετέραις, κ. σχήμ. Ald. εὐκαιροτέραις κ. σχ., *l.* et MS. Vulgatam fert etiam Marg.

Digitized by Google

τέραις, καὶ σχήμασι πολυειδεστέροις χρησαμένους. Λέγω δὲ τὸν μὲν, ὡς ἐν ἱστορίας σχηματισμῷ· τὸν δὲ, ὡς ἐν διαλόγων χάριτι· τὸν δὲ, ὡς ἐν λόγων ἐναγωνίων χρείᾳ. Ἀλλ' οὐχ ἥ γε Ἰσοκράτους καὶ τῶν ἐκείνου γνωρίμων αἵρεσις ὁμοία ταύταις ἦν· ἀλλὰ καίπερ ἡδέως καὶ μεγαλοπρεπῶς πολλὰ συνθέντες οἱ ἄνδρες οὗτοι, περὶ τὰς μεταβολὰς καὶ τὴν ποικιλίαν οὐ πάνυ εὐτυχοῦσιν· ἀλλ' ἔστι παρ' αὐτοῖς εἷς περιόδου κύκλος, ὁμοειδὴς σχημάτων τάξις, συμπλοκὴ φωνηέντων ἡ αὐτή· ἄλλα πολλὰ τοιαῦτα κόπτοντα τὴν ἀκρόασιν. Οὐ δὴ ἀποδέχομαι τὴν αἵρε-

---

πολυειδεστέροις, Ald. Emendat. in Marg.

ὡς ante ἐν ἱστορίας ab Aldo omissum P. Victor. addit inter verss.

ἱστορίαις σχ., Ald. Margo: „γρ. ἱστορίας. l.“

ἱστορ. σχήματι, l. σχήμτι, MS.

τοῦ δὲ, ὡς ἐν, Ald. Corrigit. in Marg.

γε ante Ἰσοκράτους abest a Marg.

ἐκείνου γνωρίμων, l. et MS. ἐκείνῳ γν. v. et vulg. ἐκείνων γν., Ald.

ἀλλὰ καὶ περιδεῶς, v. In Marg. praeter haec adscriptum erat, ni fallor, π δεῶς, sed postea abrasum est.

πολλὰ συντιθέντες, MS.

σχημάτων τάξις, λέξις συμπλοκῆς φωνηέντ. etc., Ald. ἀλλ' ἔστι παρ' αὐτοῖς κύκλ. ὁμοειδ. σχημάτ. τάξ., Φυλακὴ συμπλ. (i. e. συμπλοκῆς.) etc. Marg. αὐτ. κύκλος εἷς ὁμοειδ. σχ. τάξ. Φυλακὴ. συμπλοκὴ Φων. ἡ αὐτὴ., MS.

ἄλλα πολλὰ, id. ἀλλὰ πολλ., Ald. Emendat. in Marg.

Digitized by Google

σιν ἐκείνην κατὰ τοῦτο τὸ μέρος. Καὶ αὐτῷ μὲν ἴσως τῷ Ἰσοκράτει πολλαὶ χάριτες ἐπήνθουν ἄλλαι ταύτην ἐπικρύπτουσαι τὴν ἀμορφίαν· παρὰ δὲ τοῖς μετ' ἐκεῖνον ἀπ' ἐλαττόνων τῶν ἄλλων κατορθωμάτων περιφανέστερον γίνεται τοῦτο τὸ ἁμάρτημα.

ΤΜΗΜΑ κ'.

Πρέπουσα σύνθεσις πῶς γίνεται.

Εἷς ἔτι μοι καταλείπεται λόγος ὁ περὶ τοῦ πρέποντος. Ὡς γὰρ τοῖς ἄλλοις σχήμασιν ἅπασι παρεῖναι δεῖ τὸ πρέπον· καὶ εἴ τι ἄλλο ἔργον ἀτυχεῖ τούτου τοῦ μέρους, καὶ εἰ μὴ τοῦ παντὸς, τοῦ κρα-

---

τὴν διαίρεσιν ἐκ. Ald. Emendat. in *l.*

κατὰ τοῦτο τ. μέρ. Margo: „γρ. πρὸς τοῦτο. l." adest etiam nota tachygraphica praepositionis κατὰ.

τῷ Ἰσόκράτῃ, MS.

ἄλλαι post ἐπήνθουν addidi ex l. et MSo.

μετ' ἐκεῖνον οὐκ ἀπ' ἐλαττ., *l.* τῶν ἄλλων absunt ab eodem, item γίνεται.

Sect. XX. Ἔτι τις καταλείπεταί μοι, *l.* Ἔτι κατακ. ἡμῖν ὁ περὶ τ. πρ. λόγ., MS. τοῖς ἄλλοις χρώμασι παρεῖναι, *l.* Schaefer. ad verba: Ὡς γὰρ τοῖς ἄλλ. „Fort. καὶ γάρ. V. Melet. Crit. p. 73." καὶ ἔτι ἔργον, Ald. Obliteratur ἔτι, eiusque loco ponitur ἄλλο ex *l.* καὶ εἴτι ἄλλο ἔργ., *v. l.*

καὶ εἰ μὴ τ. παντ., *l.* εἰ καὶ μ. τ. τ., vulg, conf. ad p. 256. In Art. Rhet. III. 1. eodem ordine ὁμοίως δὲ καὶ εἰ ἄλλη τις ἡμέρα, etc. offert Marg. Vict.

Digitized by Google

τίστου γε ἀτυχεῖ. Περὶ μὲν οὖν ὅλης τῆς ἰδέας ταύτης οὐχ οὗτος ὁ καιρὸς ἀνασκοπεῖν· βαθεῖα γάρ τις αὕτη καὶ πολλῶν πάνυ δεομένη λόγων ἡ θεωρία. Ὅσα δὲ εἰς τοῦτο συντείνει τὸ μέρος, ὑπὲρ οὗ τυγχάνω ποιούμενος τὸν λόγον, εἰ μὴ καὶ τὰ πάντα, μηδὲ τὰ πλεῖστα, ὅσα γε οὖν ἐγχωρεῖ, λεγέσθω.

Ὁμολογουμένου δὴ παρὰ πᾶσιν, ὅτι πρέπον ἐστὶ τὸ τοῖς ὑποκειμένοις ἁρμόττον προσώποις τε καὶ πράγμασιν, ὥσπερ ἡ ἐκλογὴ τῶν ὀνομάτων, ἡ μέν τις ἂν εἴη πρέπουσα τοῖς ὑποκειμένοις, ἡ δὲ ἀπρεπής, οὕτω δή που καὶ ἡ σύνθεσις. Παράδειγμα δὲ τούτου χρὴ παραλαμβάνειν τὴν ἀλήθειαν. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Οὐχ ὁμοίᾳ συνθέσει χρώμεθα ὀργιζόμενοι καὶ χαίροντες, οὐδὲ ὀλοφυρόμενοι καὶ φοβούμενοι, οὐδ' ἐν ἄλλῳ τινὶ πάθει ἢ κακῷ ὄντες, ὥσπερ ὅταν ἐνθυμώμεθα, καὶ, μηδὲν ἡμᾶς ὅλως τα-

---

οὖν ὕλης τ. ἰδ., Ald. Emendat. in *v. l.*

γάρ τις αὐτοῦ, Ald. Emendat. ibid.

πολλ. σφόδρα δεομ., *l.*

ἐγχωρεῖ, γενέσθω, idem.

p. 298. ἁρμόττον πρ., *l.* MS. ἁρμόζον πρ., vulg.

τε post προσώποις omitt. MS.

ὥσπερ γὰρ ἔστι τις ἐκλ. τ. ὀνομάτων, idem.

articulum ante σύνθεσις omitt. id.

χρὴ λαμβάνειν, *l.*

οὐδὲ ἄλλῳ τινὶ πάθει ὄντες, MS.

ὅταν ἐνθυμώμεθα, μηδὲν ὅλως ἡμᾶς πράττειν, μηδὲ παραλυπεῖν, Marg.

Digitized by Google

ράττῃ μηδὲ παραλυπῇ. Δείγματος [ἢ παραδείγματος] ἕνεκα ταῦτα εἴρηκα, ὀλίγα περὶ πολλῶν, ἐπεὶ μυρία ὅσα τις αἴτια εἰπεῖν ἔχοι, τὰς ἰδέας ἁπάσας ἐκλογίζεσθαι βουλόμενος τοῦ πρέποντος. Ἓν δὲ, ὃ προχειρότατον ἔχω καὶ κοινότερον εἰπεῖν ὑπὲρ αὐτοῦ, τοῦτο ἐρῶ. Οἱ αὐτοὶ ἄνθρωποι ἐν τῇ αὐτῇ καταστάσει τῆς ψυχῆς ὄντες, ὅταν ἀπαγγέλλωσι τὰ πράγματα, οἷς ἂν παραγενόμενοι τύχωσιν, οὐχ ὁμοίᾳ χρῶνται συνθέσει περὶ πάντα, ἀλλὰ καὶ μι-

---

Verba ἢ παραδείγματος, haud dubie spuria, eademque in *l.* omissa, uncis inclusi.

εἵνεκα τ., Ald. εἶναι κα, *v.* ἐπεὶ abest ab *l.*

κοινότερον, *l.* κοινότατον, vulg. Conf. p. 116. 212.

ὄντες post ψυχῆς abest ab *l.*

ὅτε ἀπαγγ. πράγμ., MS.

περὶ πάντα, *v.* π. πάντων, vulg.

ἀλλὰ καὶ μιμητ. l. et MS. vulgo καὶ omitt. Articulus ante ἀπαγγελλομένων, et verba: καὶ ἐν τῷ — ὀνόματα absunt a MSo. Comma post ὀνόματα deletum ante καὶ ἐν posui, quae quidem ante Schaeferum vulgaris interpunctio erat. Schaeferus: „Mutavi interpunctionem. *imitantur res quas narrant etiam in compositione verborum.* Vulgo sic interpungunt: — — Hanc rationem plane alienam, puto, a mente Rhetoris, sequitur Interpres. Conf. quae statim sequuntur, it. mox p. 276.“ Quod si ita dictum vult vir doctissimus, ut in *meditata* oratione verba οὐκ αὐτομάτως componantur, lubens adsentior. Atqui differt verba in subita, meditataque narratione componere. Verte: *sed et, quae referunt, figuratis gestibus imitantur,* p. 298.

Digitized by Google

μητικοὶ γίνονται τῶν ἀπαγγελλομένων καὶ ἐν τῷ συντιθέναι τὰ ὀνόματα οὐδὲν ἐπιτηδεύοντες, ἀλλὰ φυσικῶς ἐπὶ τοῦτο ἀγόμενοι. Ταῦτα δὴ παρατηροῦντα δεῖ τὸν ἀγαθὸν ποιητήν τε καὶ ῥήτορα μιμητικὸν εἶναι τῶν πραγμάτων, ὑπὲρ ὧν ἂν τοὺς λόγους ἐκφέρῃ, μὴ μόνον κατὰ τὴν ἐκλογὴν τῶν ὀνομάτων, ἀλλὰ καὶ κατὰ τὴν σύνθεσιν. Ὃ ποιεῖν εἴωθεν ὁ δαιμονιώτατος Ὅμηρος, καίπερ μέτρον ἔχων ἓν, καὶ ῥυθμοὺς ὀλίγους, ἀλλ' ὅμως ἀεί τι καινουργῶν ἐν αὐτοῖς καὶ φιλοτεχνῶν· ὥστε μηδὲν ἡμῖν διαφέρειν γινόμενα τὰ πράγματα ἢ λεγόμενα ὁρᾶν. Ἔρῳ δὲ

---

idque nullam curam verborum structuras habentes, eos aliro ad id ipsa natura dubente. Quin quod Noster infr. p. 410. scribit, quod ars antea effecisset, consuetudine, diuturnoque usu natura quasi altera fieri, neque tum arte, sed vere αὐτομάτως scriptores in componenda oratione versari.'

ταῦτα δὴ παρατ. δεῖ τ. ἀγ. π. κ. ῥήτ. ποιητικῶν εἶναι τ. πρ. ὑπὲρ, etc., *l.* Margo: ἀγρ. ποιητικόν. in alio: μιμητικόν. ταῦτα δὲ παρατηροῦνται δεῖ τἀγαθὰ τῶν ποιητῶν καὶ ῥητόρων μιμητικὸς εἶναι τῶν πρώτων, ὑπὲρ, etc., Ald. παρατηροῦντα, *v. l.* ταῦτ. δεῖ παρατ. τὸν ἀγαθὸν, etc., MS. ταῦτα δὲ παρατ., vulg. τε post ποιητὴν abest a MSo. δεῖ in Aldin. lineola damnatur.

λόγους ἐκφέροι, MS.

καίπερ μέτρον, *l.* et MS. καίτοι μ., vulg.

ἓν post ἔχων omitt. MS.

Digitized by Google

ὀλίγα, οἷς ἄν τις δύναιτο παραδείγμασι χρῆσθαι ἐπὶ πολλῶν.

Ἀπαγγέλλων οὖν πρὸς τοὺς Φαίακας Ὀδυσσεὺς τὴν ἑαυτοῦ πλάνην, καὶ τὴν εἰς ᾅδου κατάβασιν εἰπών, τὰς ὄψεις τῶν ἐκεῖ κακῶν ἀποδίδωσιν. Ἐν δὴ τούτοις καὶ τὰ περὶ τὸν Σίσυφον διηγεῖται πάθη, ᾧ φασι τοὺς καταχθονίους θεοὺς ὅρον πεποιῆσθαι τῆς τῶν δεινῶν ἀπαλλαγῆς, ὅταν ὑπὲρ ὄχθου τινὸς ἀνακυλίσῃ πέτρον· τοῦτο δὲ ἀμήχανον εἶναι, καταπίπτον-

---

παραδείγματι χρ., Ald. Emendat. in *l.*

χρῆσθαι ἐπὶ πολλῶν. Margo: „abest περὶ ab *l.*" περὶ non est diserte expressum, sed compendio. Atqui in Aldina ἐπὶ π. me reperire memini. Itaque quo haec nota marginalis pertineat, non apparet. Insigne praepositionum istarum confusarum exemplum supra p. 22. attuli.

ἀπαγγέλων δὴ, Ald. Emendat. in *l.*

ἐν δὴ τούτ., *v. l.* ἐν δὲ τούτ., vulg.

ὅρον ποιεῖσθαι, *l.* τινα post ἀνακυλ. πέτρον omitt. *l.*, nec sane repugnem, si quis velit omittere. Ex eadem vero auctoritate seclusi: τοῦ πέτρου, in *l.* omissa. Nimirum offendit aliquis genitivo participii sine pronomine, substantivove usurpato, quanquam sexcenties apud probatissimos scriptores occurrit. vid. Tsuck. ad Strabon. T. III. p. 520. Hinc explicandus Thucyd. I. 3. ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείᾳ ἐς τὰς ἄλλας πόλεις. Scriptori in mente erat scribere: καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφ. τῶν ἄλλ. π. sed de more negligentius casus enallage usus est. Durissima est, quam Bredovius iniit, ratio, qui

Digitized by Google

τος, ὅταν εἰς ἄκρον ἔλθῃ, πάλιν· [τοῦ πέτρου.] Πῶς οὖν δηλώσει ταῦτα μιμητικῶς καὶ κατ' αὐτὴν τὴν σύνθεσιν τῶν ὀνομάτων, ἄξιον ἰδεῖν.

ἐπαγομένων ad παίδων refert, repetito ex Φθιώτιδι pronomine αὐτούς. cf. I. 7. Congemina sunt haec: VIII. 44. οἱ δ' ἐς τὴν Ῥόδον, ἐπικηρυκευομένων ἀπὸ τῶν δυνατωτάτων ἀνδρῶν, τὴν γνώμην εἶχον πλεῖν. v. Matth. Gr. Gr. §. 563. Ap. eundem scriptorem IV. 48. in his verbis: ἀπαγχόμενοι, παντὶ τρόπῳ τὰ πολὺ τῆς νυκτὸς — ἀναδοῦντας σφᾶς αὐτούς, καὶ βάλλόμενοι ὑπὸ τῶν ἄνω, διεφθάρησάν; dudum vidit ex Phavorino Heilmann. restituendum esse ἀναλαῦντας σφ. αὐτ. Phavorino accedunt Suidas et Zonaras. At mira criticorum religione alius locus, mutanda una litera, elegantissima eademque certissima emendatione, restat emendandus. IV. 98. τοὺς τε νεκροὺς ἔφασαν πολὺ μειζόνως ἀκείνους ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν, ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ πρέποντα νομίζεσθαι. Inspecta narrationis serie nemo non videt, legendum esse: νομίζεσθαι. A vero abducti sunt interpp. glossemate Codic. Regii haec inserentis: ἢ τοὺς ἐθέλοντας ὥσπερ τιμήματι ἱεροῖς τὰ πρέποντα νομίζεσθαι, quanquam liquet, eius glossae auctorem sensum bene esse adsecutum. Aeque facili emendandi ratione, puto, rescribendum est ap. Theognid. 1006. Ἄφρονες ἀνθρώποι καὶ νήπιοι, αἰτίνες οἶνον Μὴ πίνουσ', ἀστέρου καὶ κυνὸς ἐρχομένου. Vulg. κυνὸς ἀρχομένου. Ἔρχεσθαι pro Ἀνατέλλεσθαι usurpari, nescio an probet Virgil. Eclog. X. extr. *Ite domum saturae, venit Hesperus, ite, capellae.* Heyn. ad Eclog. VIII. 30. „Vulgari more loquendi, quem poetae sequuntur, astrum oriri dicitur, quod in

Digitized by Google

Καὶ μὴν Σίσυφον εἰσεῖδον κρατέρ' ἄλγε' ἔχοντα,
Λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν.

---

conspectum venit; pro *oriri* autem solenne est *surgere*, *procedere*, *venire* de astris," et ad Ecl. I. l. „venit; sic εἶσιν ap. Homer. Il. X. 27. Ἀστέρα — ὃς ῥα τ' ὀπώρης εἶσιν." Ita de ventis quoque et imbribus Pindar. Pyth. I. 66. πομπαῖον ἐλθεῖν οὖρον. Pyth. VI. 10. χειμάρως ὄμβρος ἐλθὼν. — Similia sunt haec; ἄστρον καὶ νυὸς Thucydidis I. 116. ἐπὶ Καύνου καὶ Καρίας. I. 58. τῆς ἑαυτοῦ γῆς, τῆς τε Μυγδονίης περὶ τὴν Βολβὴν λύμνην. Quanquam Codd. Monacc. 228. et 126. multique praeterea libri scripti τε omittunt, quare fortasse non erat huc trahendum, sive vertas: *cum terrae suae, tum Mygdonii agri circa Bolbam lacum siti partem dedit incolendam.* Homer. Il. VIII. 47. Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν, Γάργαρον, ἔνθα δέ οἱ τέμενος etc. V. omnino Strabo. de hac figura disserent. p. 68. B. Almel. Ap. eund. Theognid. 258 quaedam in mendo cubant. Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ Ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμεῦ κακίων. Ψυχρόν μοι παρὰ τῇδε φίλοι πίνουσι τοκῆες, Ὕδωρ' ἅμα δ' ὑδρεύει, καί μὲ γοῶσα φέρει. Ἔνθα μέσην παρὰ παῖδα λάβων ἀγκῶν', ἐφίλησα Δειρὴν, ἡ δὲ τέρεν ῥοδέγγετ' ἀπὸ στόματος. Sensu cassa sunt verba; καίγε, γοῶσα φέρει. Dum metrum ferat, legerim: κ. μ. γ. φλέγει, coll. Aristaenet. Ep. II. 2. σὺ δὲ ῥοδεῖσα φλέγεις, καὶ οὐκ εὖσα (παροῦσα sc.) τιτρώσκεις. Paullo licentior est Gnomicorum poetarum ratio metrica. Ita τι ante πλ, τε ante πρ cet. corripiuntur. v. tamen Seidler. d. verss. dochm. T. I. p. 21. not. Buttmann. Gr. gr. p. 439. ed. sext.

v. 1: καὶ μὴν καὶ Σισ.,

Digitized by Google

Ἤτοι ὁ μὲν σκηριπτόμενος χερσίν τε ποσίν τε,
Λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον. —

Ἐνταῦθα ἡ σύνθεσίς ἐστιν ἡ δηλοῦσα τῶν γινομένων ἕκαστον, τὸ βάρος τοῦ πέτρου, τὴν ἐπίπονον ἐκ τῆς γῆς κίνησιν, τὸν διερειδόμενον τοῖς κώλοις, τὸν ἀναβαίνοντα πρὸς τὸν ὄχθον, τὴν μόγις ἀνωθουμένην πέτραν. Οὐδεὶς ἂν ἄλλως εἴποι. Καὶ παρά τί γέγονε τούτων ἕκαστον; Οὐκ ἂν εἰκῇ, οὐδὲ ἀπὸ ταὐτομάτου πρῶτον ἐν τοῖς δυσὶ στίχοις, οἷς ἀνακυλίει τὴν πέτραν, ἔξω δυεῖν ῥημάτων τὰ λοιπὰ τῆς λέξεως μόρια πάντα ἐστὶν ἤτοι δισύλλαβα, ἢ μονοσύλλαβα· ἔπειτα ἡμίσει πλείους εἰσὶν αἱ μακραὶ συλλαβαὶ τῶν p. 299. p. 299.

MS. εἶδον, id. Σύσυφον, Ald. Emendat. in Marg.

v. 3. χερσί τε, MS.

v. 4. ἄνω θέσκε, Ald. Emendat. in Marg.

τὴν μόλις ἀνωθ. MS. et *l.*

ἄλλος εἴποι, *l.* καὶ παρὰ τί, Ald. ἀλλ. εἴπ., παρὰ τί — ἕκαστον· οὐ γὰρ — ταὐτομάτου. Πρῶτον μὲν τοῖς δ. στίχ., ἐν οἷς ἀνακυλεῖ, etc., vulg. οὐκ ἂν εἰκῇ, *l.* Secutus sum in interpungendo hoc loco Schaeferum. Huc refer, quae infr. p. 280. scribit: καὶ τίς ἐνταῦθα πάλιν ἡ αἰτία; etc. Μὲν post πρῶτον ex auctoritate Aldinae omisi, eiusque loco ex MSo. ἐν posui, altero ἐν post στίχοις cum eodem et Aldo omisso. Τοῖς β' στίχοις, Ald. ἀνακυλίει, quod ascivi, *l.*

ἔξω δεῖν, Ald. Emendat. in *v. l.* et MSo. δυοῖν, vulg.

πάντ' ἐστιν, MS.

ἔπ. τῷ ἡμίσει, MS. et *v. l.* ἔπ. ἡμ., vulg. ἐπ. τῶν ἡμ., Ald.

Digitized by Google

βραχειῶν ἐν ἑκατέρῳ τῶν στίχων· ἔπειθ' ἅπασαι διαβεβήκασιν αἱ τῶν ὀνομάτων ἁρμονίαι διαβάσεις εὐμεγέθεις, καὶ διεστήκασι πάνυ αἰσθητῶς, ἢ τῶν φωνηέντων συγκρουομένων, ἢ τῶν ἡμιφώνων τε καὶ ἀφώνων συναπτομένων· ῥυθμοῖς τε καὶ δακτύλοις καὶ σπονδείοις τοῖς μηκίστοις, καὶ πλείστην ἔχουσι διάβασιν, ἅπαντα σύγκειται. Τί δή ποτ' οὖν τούτων ἕκαστον δύναται; Αἱ μὲν μονοσύλλαβοί τε καὶ δισύλλαβοι λέξεις, πολλοὺς μεταξὺ χρόνους ἀλλήλων ἀπολείπουσαι, τὸ χρόνιον ἐμιμήσαντο τοῦ ἔργου· αἱ δὲ μακραὶ συλλαβαί, στηριγμούς τινας ἔχουσαι καὶ ἐγκαθίσματα, τὴν ἀντιτυπίαν, καὶ τὸ βαρὺ, καὶ τὸ μόγις· τὸ δὲ μεταξὺ τῶν ὀνομάτων

ἐκ. τῷ στίχῳ, Ald. Emendat. in *l.*

ἔπειτα διαββήκασι πᾶσαι, MS. Verba διαβάσεις εὐμεγέθεις et πάνυ omitt. idem. διάβεβλήκασι, *l.*

ἢ τῶν φωνηέντων, Ald. Emendat. in *v. l.*

φωνηέντ. συναπτομένων, MS.

καὶ δακτυλίοις καὶ σπονδείοις, Ald. Emendat. in *v. l.* „Delenda esse suspicor, quippe profecta a glossatore, qui ῥυθμοὺς τοὺς μηκίστους καὶ πλείστην ἔχοντας διάβασιν interpretari vellet. Certe sic posita vitiose dirimunt, quae arcte iungenda sunt, ῥυθμοῖς τε τοῖς μηκίστοις." Schaeferus. Bene fortasse his verbis consulueris, si post διάβασιν transferas.

ἐμιμήσατο τοῦ ἔργ., Ald. Emendat. in *l.*

ἐμιμ. τοῦ χρόνου, MS.

καὶ τὸ βραδὺ καὶ τὸ μ. Ald. Emendat. in *l.*

καὶ τὸ μόλις, MS.

Digitized by Google

ψύγμα, καὶ ἡ τῶν τραχυνόντων γραμμάτων παράθεσις, τὰ διαλείμματα τῆς ἐνεργείας, καὶ τὰς ἐποχὰς καὶ τὸ τοῦ μόχθου μέγεθος· οἱ ῥυθμοὶ δὲ ἐν μήκει θεωρούμενοι, τὴν ἕκτασιν τῶν μελῶν, καὶ τὸν διελκυσμὸν τοῦ κυλίοντος, καὶ τὴν τοῦ πέτρου ἕρεισιν. Καὶ ὅτι ταῦτα οὐ φύσεώς ἐστιν αὐτοματιζούσης ἔργα, ἀλλὰ τέχνης μιμήσασθαι τὰ γινόμενα πειρωμένης, τὰ τούτοις ἑξῆς λεγόμενα δηλοῖ. Τὸν γὰρ ἀπὸ τῆς κορυφῆς ἐπιστρέφοντα πάλιν καὶ κατακυλιόμενον πέτρον οὐ τὸν αὐτὸν ἡρμήνευκε τρόπον, ἀλλ' ἐπιταχύνας τε καὶ συστρέψας τὴν σύνθεσιν. Προειπὼν γὰρ ἐν τῷ αὐτῷ σχήματι·

— ἀλλ' ὅτε μέλλει
Ἄκρον ὑπερβαλέειν —·

ἐπιτίθησι τοῦτο·

ἐνεργ. ἀποχάς τε, Ald. Emendat. in *v.* ἐνεργ. καὶ τὰς ἐποχὰς, *l.* ἐνεργ. ἐποχ. τε, vulg.

καὶ τὸ τοῦ μόχθ., Ald. MS. καὶ τοῦ μόχθ., vulg.

τὴν διέκτασιν τ. μ., MS. τῶν μέλων absunt ab *l.*

πέτρου βρίσιν, Ald. Emendat. in *l.* –

πειρωμέν. τὰ γινόμενα, verso ordine MS.

τὴν γὰρ — ἐπιστρέφουσαν — κατακυλιομένην πέτραν, *l.* et MS.

ἡρμήνευσε τρόπ., idem. ἡρμήνευκε, Marg.

γὰρ post τροειπὼν abest ab *l.*

σχήματι, MS.

ἐπιτίθησι τοῦτο, *l.* ἐπιτίθ. τούτῳ, vulg.

Digitized by Google

p. 299. — τότ' ἀποστρέψασκε κραταιΐς.

p. 299. Αὖθις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.

Οὐχὶ συγκατακεκύλισται τῷ βάρει τῆς πέτρας ἡ τῶν ὀνομάτων σύνθεσις, μᾶλλον δὲ ἔφθακε τὴν τοῦ λίθου φοράν τὸ τῆς ἀπαγγελίας τάχος; Ἔμοιγε δοκεῖ. Καὶ τίς ἐνταῦθα πάλιν αἰτία; καὶ γὰρ ταύτην ἄξιον ἰδεῖν· ὁ τὴν καταφορὰν δηλῶν τοῦ πέτρου στίχος, μονοσύλλαβον μὲν οὐδεμίαν, δισυλλάβους δὲ δύο μόνας ἔχει λέξεις. Τοῦτο οὐκ ἐᾷ πρῶτον διεστηκέναι τοὺς χρόνους, ἀλλ' ἐπιταχύνει. Ἔπειθ' ἑπτακαίδεκα συλλαβῶν οὐσῶν ἐν τῷ στίχῳ, δέκα μέν εἰσι βραχεῖαι συλλαβαί, ἑπτὰ δὲ μόναι μακραί, οὐδ' αὗται τέλειοι. Ἀνάγκη οὖν κατεσπάσθαι καὶ συστέλλε-

---

ἐπιστρέψας κέκραται ἵς, Ald. Emendat. in *l.*

ἀποστρέψασκε κρατ. vulg. V. Schaefer. ad h. l. ἐπιστρέψασκε κραταῖς, MS.

αὖθις ἔπ., vulg. αὖτις ἔπ., MS.

συγκατακύλισται, Ald. συγκυλίεται, MS. et *l.*

ἔφασκε τὴν τοῦ, MS.

ἐμοί τε δ., Marg. ἐμοὶ δοκεῖ, *l.*

ταύτης ἄξιον, *l.*

ὁ τὴν καταφ. δ. τ. π. στίχ., Ald. ἡ τ. καταφ., etc. vulg.

δισυλλ. δὲ β' μόνας, Ald.

ἔχει λέξ., Ald. ἔχων λέξ., vulg.

Τοῦτ' οὖν καὶ πρῶτον οὐδ' ἵστησι τοὺς χρόνους, *l.*

ἑπτὰ δ' ἑπτακαιδ., idem lib.

ἔπτα δὲ (οὐδ' αὖται τέλειοι, p. 299. id. ἕπτ. δ. μ. μ., καὶ οὐδ' αὗται τ., vulg.

καὶ συστέλλεσθαι τὴν φράσ., *l.*

Digitized by Google

σθαι τὴν φράσιν, τῇ βραχύτητι τῶν συλλαβῶν ἐφελκομένην. Ἔτι πρὸς τούτοις οὐδὲ ὄνομα ἀπὸ ὀνόματος ἀξιόλογον εἴληφε διάστασιν· οὔτε γὰρ φωνήεντι φωνῆεν, οὔτε ἡμιφώνῳ ἡμίφωνον ἢ ἄφωνον, ἃ δὴ τραχύνειν πέφυκε καὶ διϊστάνειν τὰς ἁρμονίας, οὐδέν ἐστι παρακείμενον. Οὗ δὴ γίνεται διάστασις αἰσθητὴ, μὴ διηρτημένων τῶν λέξεων, ἀλλὰ συνολισθαίνουσιν ἀλλήλαις καὶ συγκαταφέρονται, καὶ τρόπον τινὰ μία ἐξ ἁπασῶν γίνεται διὰ τὴν τῶν ἁρμονιῶν ἀκρίβειαν. Ὁ δὲ μάλιστα τῶν ἄλλων θαυμάζειν ἄξιον, ῥυθμὸς οὐδεὶς τῶν μακρῶν, οἳ φύσιν ἔχουσι πίπτειν εἰς μέτρον ἡρωϊκὸν, οὔτε σπονδεῖος, οὔτε βακχεῖος, ἐγκαταμέμικται τῷ στίχῳ, πλὴν ἐπὶ τῆς τελευτῆς· οἱ δὲ ἄλλοι πάντες εἰσὶ δάκτυλοι, p. 299

τούτοις οὐδὲν ἔνομα, Ald. τούτ. οὐδ' ὄν., *l.*

Verba: ἢ ἄφωνον, ἃ ab Ald. absunt. Supplent. in Marg. ἢ ἄφ. ἃ τραχ., vulg. ἢ ἀφ. ἃ δὲ τραχ., Ald. ἢ ἄφ. ἃ δὴ τρ., v. l. Ante Uptonum legebatur: ἢ ἄφ. γίνεται, ἃ τρ. Sylburg. verbum γίνεται in sequentem periodum volebat translatum. Recte. Etenim οὐ δὴ γὰρ διάστ. Aldus exhibuerat. Margo ita correxit ex *v. l.* „γρ. γίνεται" addito huius vocis compendio, a me saepius commemorato, quo factum est, ut innumeris locis γὰρ, γίνεται, et γράφεται confunderentur.

διάστασις αἰσθ., *l.*

μὴ διηρτημένων, id. lib.

μέτρον ἡρωϊκὸν, idem. μ. ἡρῷον, vulg. poetae convenientius.

Digitized by Google

καὶ οὗτοί γε παραδεδιωγμένας ἔχοντες τὰς ἀλόγους, ὥςτε μὴ πολὺ διαφέρειν ἐνίους τῶν τροχαίων. Οὐδὲν δὴ τὸ ἀντιπράττον ἐστὶν, εὔτροχον καὶ περιφερῆ καὶ καταῤῥέουσαν εἶναι τὴν φράσιν, ἐκ τοιούτων συγκεκροτημένην ῥυθμῶν.

Πολλά τις ἂν ἔχοι τοιαῦτα δεῖξαι παρ' Ὁμήρῳ λεγόμενα· ἐμοὶ δὲ ἀποχρῆν ἐδόκει ταῦθ', ἵνα ἐγγένηται μοι καὶ περὶ τῶν ἄλλων εἰπεῖν. Ὧν μὲν οὖν δεῖ στοχάζεσθαι τοὺς μέλλοντας καλὴν καὶ ἡδεῖαν ποιήσειν σύνθεσιν ἔν τε ποιητικῇ καὶ λόγοις ἀμέτροις, ταῦτα κατ' ἐμὴν δόξαν ἐστὶ, τά γ' οὖν κυριώτατα καὶ κράτιστα. Ὅσα δὲ οὐχ οἷά τε ἦν, ἐλάττω τε ὄντα τούτων, καὶ ἀμυδρότερα, καὶ διὰ πλῆθος δυσπερίληπτα μιᾷ γραφῇ, ταῦτ' ἐν ταῖς καθ' ἡμέραν γυμνασίαις προσυποθήσομαί σοι, καὶ πολλῶν καὶ ἀγαθῶν ποιητῶν τε καὶ συγγραφέων καὶ ῥητόρων μαρτυρίαις χρήσομαι. Νυνὶ δὲ τὰ καταλειπόμενα ὧν ὑπεσχόμην, καὶ οὐδενὸς ἧττον ἀναγκαῖα εἰρῆσθαι,

---

τοὺς ἀλόγους, Ald. Emendat. in Marg.

δοκεῖ καὶ ταῦθ', *l.*

μιᾷ γραφῇ, *l.* μὴ γραφῇ, v. δυσπ. γραφῇ, vulg.

προσυποθήσομαι, *l.* προϋποθήσομαι, vulg.

Νυνὶ δὲ τὰ, *l.* νῦν δὲ τ., vulg.

Paullo ante καὶ ante ποιητῶν τε Ald. habet, quod lineola eiiciendum esse significatur.

Digitized by Google

ταῦτ' ἔτι προσθεὶς τῷ λόγῳ, παύσομαι· „Τίνες εἰσὶ διαφοραὶ τῆς συνθέσεως, καὶ τίς ἑκάστης χαρακτὴρ ὡς ἐπὶ τὸ πολὺ, τῶν τε πρωτευσάντων ἐν αὐταῖς μνησθῆναι, καὶ δείγματα ἑκάστου παρασχεῖν. Ὅταν δὲ ταῦτα λάβῃ μοι τέλος, τότε κἀκεῖνα διευκρινῆσαι τὰ παρὰ πολλοῖς ἀπορούμενα· Τί ποτ' ἐστὶν, ὃ ποιεῖ τὴν μὲν πεζὴν λέξιν ὁμοίαν ποιήματι φαίνεσθαι, μένουσαν ἐν τῷ τοῦ λόγου σχήματι, τὴν δὲ ποιητικὴν φράσιν ἐμφερῆ τῷ πεζῷ λόγῳ, φυλάττουσαν τὴν ποιητικὴν σεμνότητα." Σχεδὸν γὰρ οἱ κράτιστα διαλεχθέντες ἢ ποιήσαντες ταῦτα ἔχουσιν ἐν τῇ λέξει τὰ ἀγαθά. Πειρατέον δὴ καὶ περὶ τούτων ἃ φρονῶ λέγειν· ἄρξομαι δὲ ἀπὸ τοῦ πρώτου.

ΤΜΗΜΑ κά.

Συνθέσεως διαφοραὶ τίνες.

Ἐγὼ τῆς συνθέσεως εἰδικὰς μὲν πολλὰς διαφορὰς σφόδρα εἶναι τίθεμαι, καὶ οὔτε εἰς σύνοψιν ἐλ-

---

τε ante πρωτευσάντων abest ab *l.*

τότε καὶ ταῦτα, *l.*

διευκρινήσω, Ald. Emendat. in Marg.

μὲν ante πεζὴν addidi ex Marg.

; τί τε ποιητικὴν Φρ., Ald. Emendat. in *l.*, τό τε ποιητ. Φρ., *v.*

ἀπὸ τοῦ πρώτου, *l.* ut vulg. κατὰ τοῦ πρώτου, *v.*

Sect. XXI. Διαφοραὶ δὲ συνθέσεως εἰδικαὶ μὲν σφόδρα

θεῖν δυναμένας, σύτε εἰς λογισμὸν ἀκριβῆ· οἶσμαί τε ἴδιον ἡμῶν ἑκάστῳ χαρακτῆρα, ὥσπερ ὄψεως, οὕτω καὶ συνθέσεως ὀνομάτων παρακολουθεῖν, οὐ φαύλῳ παραδείγματι χρώμενος ζωγραφίᾳ. Ὥσπερ γὰρ ἐν ἐκείνῃ τὰ αὐτὰ φάρμακα λαμβάνοντες ἅπαντες οἱ τὰ ζῶα γράφοντες, οὐδὲν ἐοικότα ποιοῦσιν ἀλλήλοις τὰ μίγματα· τὸν αὐτὸν τρόπον ἐν ποιητικῇ τε διαλέκτῳ καὶ τῇ ἄλλῃ ἁπάσῃ, τοῖς αὐτοῖς ὀνόμασι χρώμενοι πάντες, οὐχ ὁμοίως αὐτὰ συντίθεμεν. Τὰς μέντοι γενικὰς αὐτῆς διαφορὰς ταύτας εἶναι πείθομαι μόνας τὰς τρεῖς, αἷς ὁ βουλόμενος ὀνόματα θήσεται τὰ οἰκεῖα, ἐπειδὰν τούς τε χαρακτῆρας αὐτῶν καὶ τὰς διαφορὰς ἀκούσῃ. Ἐγὼ μέντοι κυρίοις ὀνόμασιν οὐκ ἔχων αὐτὰς προσαγορεῦσαι, ὡς ἀκατονομάστους, μεταφορικοῖς ὀνόμασι καλῶ, τὴν

πολλαί; MS. Vocabuli ἰδικαὶ prima syllaba est in rasura.

εἰς λογισμὸν ἀκριβῆ, v. εἰς συλλογισμὸν ἀκρ., l.

οἶομ. τ. ἴδιόν, v: ut vulg. οἶομαί τ. ἰδιώματα ἑκ. χαρακτῆρι, l. sensu ad sequentia minus accommodato. ἡμῶν ab Ald. omissum suppletur in v.

Φαύλῳ παραδ., l. Φαύλως παραδ., vulg.

ζωγραφιαίῳ, Ald. Emendat. in l.

Post οὐχ ab Aldo spatium vacuum est relictum. Margo: „γρ. ὁμοίως.“ una cum compendio eius vocis — μόνας ante τὰς τρεῖς adieci ex l.

ἀκατονομάστρις, Ald. Emendat. in l.

Digitized by Google

μὲν αὐστηρὰν, τὴν δὲ γλαφυρὰν ἢ ἀνθηρὰν, τὴν δὲ τρίτην εὔκρατον. Ἦν ὅπως ποτὲ γίνεσθαι φαίην ἂν ἔγωγε, ἀπορῶ, καὶ δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν, εἴτε κατὰ τὴν στέρησιν τῶν ἄκρων ἑκατέρας, εἴτε κατὰ μίξιν· οὐ γὰρ ῥᾴδιον εἰκάσαι τὸ σαφές. Μή ποτ' οὖν κρεῖττον ᾖ λέγειν, ὅτι κατὰ τὴν ἄνεσίν τε καὶ ἐπίτασιν τῶν ἐσχάτων ὅρων οἱ διὰ μέσου γίνονται πολλοὶ πάνυ ὄντες. Οὐ γὰρ ὥςπερ ἐν μουσικῇ τὸ ἴσον ἀπέχει τῆς νεάτης καὶ ὑπάτης ἡ μέση, τὸν αὐτὸν τρόπον καὶ ἐν λόγοις ὁ μέσος χαρακτὴρ ἑκατέρου τῶν ἄκρων ἴσον ἀφέστηκεν· ἀλλ' ἔστι τῶν ἐν πλάτει θεωρουμένων, ὡς ἀγέλη τε καὶ σωρὸς καὶ ἄλλα πολλά. Ἀλλὰ γὰρ οὐχ οὗτος ὁ καιρὸς ἁρμότ-

---

ἢ ἀνθηρὰν ab Aldo omissa adduntur ex *l.*, neque in MSo. desunt.

p. 299. τρίτην εὔκρατον, *l.* et MS., scriptore ipso hanc lectionem his verbis: μεταφορικοῖς ὀνόμασι καλῶ recipi iubente, praetuli vulgatae: τρ. κοινὴν.

ὅπως πότοτε, Ald. τὸ, Marg.

articulum ante στέρησιν non agnoscit MS.

ἄκρων ἑτέρας, *l.*

λέγειν, εἴτε κατὰ ἄνεσιν καὶ ἐπίτασιν, MS.

Articulum ante ἐπίτασιν omisi, a Petr. Victor. linea damnatum.

Paullo ante εἰκάσαι τὸ σαφὲς, Ald.

κρ. ἦν λέγειν, *l.*

ἐν ante μουσικῇ ab Aldo omissum suppletur in *l.*

χαρακτὴρ post μέσος ex eodem libr. adieci.

Digitized by Google

των τῇ θεωρίᾳ ταύτῃ· λεκτέον δ', ὥσπερ ὑπεθέμην, καὶ περὶ τῶν χαρακτήρων οὐχ ἅπανθ' ὅσα εἰπεῖν ἔχοιμι· μακρῶν γὰρ ἄν μοι πάνυ δεήσειε λόγων· ἀλλ' αὐτὰ τὰ φανερώτατα.

ΤΜΗΜΑ κβ'.

Αὐστηρᾶς ἁρμονίας χαρακτήρ.

Τῆς μὲν οὖν αὐστηρᾶς ἁρμονίας τοιόσδε ὁ χαρακτήρ. Ἐρείδεσθαι βούλεται τὰ ὀνόματα ἀσφαλῶς, καὶ στάσεις λαμβάνειν ἰσχυράς, ὥστε ἐκ περιφανείας ἕκαστον ὄνομα ὁρᾶσθαι, ἀπέχειν τε ἀπ' ἀλλήλων τὰ μόρια διαστάσεις ἀξιολόγους, αἰσθητοῖς

ὥσπερ id. lib. pro vulg. ὡς, et καὶ ante περὶ, vulgo omissum praebuit. In Nostri Art. IX. 6. scrib. καὶ λέγουσιν οἱ διδάσκαλοι, ὅτι ἐπειδὴ ἐτύγχανε τὸν Ὀδυσσέα τὸ πλῆθος, — καὶ ὁ Ἀγαμέμνων τὸν γέροντα· ὥσπερ παιδαρίων ἐν διδασκαλείῳ ἐπιδεικνυμένων, etc. Ed. Aldin. et Schotti (nescio an non ceterae): ὡς περὶ, quod miror a nuperrimo editore tolerari potuisse.

μακρ. γὰρ ἄν μοι π. δεήσειε, Marg. μ. γ. ἄν οἶμαι δεήσει, Ald. e postremo vocabulo manu Petri Victorii est additum. μ. γ. ἄν οἶμ. δεήσειν, vulgo.

ἀλλὰ τὰ φανερώτατα, l. Nihil mutandum. Conf. p. 86. et passim.

Sect. XXII. καὶ vulgatum ante ὁ χαρακτὴρ, ex correctione P. Victorii omisi.

ὥστε ἐκ περιφερείας, l. conf. p. 334.

τὰ μόρια διατάσεις, l.

Digitized by Google

χρόνοις διειργόμενα· τραχείαις τε χρῆσθαι πολλαχῇ καὶ ἀντιτύποις ταῖς συμβολαῖς οὐδὲν αὐτῇ διαφέρει, οἷαι γίνονται τῶν λογάδην συντιθεμένων ἐν οἰκοδομίαις λίθων αἱ μήτε εὐγώνιοι, μήτε συνεξεσμέναι βάσεις, ἀργαὶ δέ τινες καὶ αὐτοσχέδιοι· μεγάλοις τε καὶ διαβεβηκόσιν εἰς πλάτος ὀνόμασιν ὡς τὰ πολλὰ μηκύνεσθαι φιλεῖ· τὸ γὰρ εἰς βραχείας συλλαβὰς συνάγεσθαι πολέμιον αὐτῇ, πλὴν εἴ ποτε καὶ ἡ ἀνάγκη βιάζοιτο.

Ἐν μὲν δὴ τοῖς ὀνόμασι ταῦτα πειρᾶται διώκειν, καὶ τούτων γλίχεται· ἐν δὲ τοῖς κώλοις ταῦτά

χρόνοις διειργόμενος, MS. χρ. διειργομένας, Ald. χρ. διειργομένας, v. vulgatam denique offert *l.*

χρῆσθαι πολλῇ καὶ ἀντ., Ald. Emendat. in *v. l.*

οἷαι γίνονται, *l.* οἷον γίνονται, vulg. οἱ γίν., Ald.

οἰκοδομαῖς λίθ., *l.*

τε ante εὐγώνιαι damnatur a Pet. Victor.

καὶ μὴ συνεξ., *l.* μηδὲ συνεξ., Ald.

ἀρχαὶ δέ τινες, Ald. Emendat. in *v.*

p. 300. βάσεις γὰρ αἴδε τινὲς καὶ αὐτοσχεδίοις τε ὡς καὶ διαβεβ. etc.

πλάτος ὀνόματος, *l.*

τὸ γ. εἰς βραχείας συλλαβὰς συνάγ., idem. τ. γ. ἐκ βραχείας συλλαβῆς συν., vulg. conf. p. 168. 212. 416.

εἴ ποτε καὶ ἡ ἀνάγκη, *l.* Vulg. καὶ ἡ omitt.

καὶ τούτ. γλίχεσθαι, Ald. Margo: „γρ. γλίχεται, *l.*" κ. τ. γλίχε., *v.*

Post ταῦτά τε Aldina habet lacunam, et mox ἢ οὐχ ἧττον. Margo supplet: ταῦτά τ. οὐχ ἧττον ὁμοίως, ad-

Digitized by Google

τε οὐχ ἧττον ἐπιτηδεύει, καὶ τοὺς ῥυθμοὺς τοὺς ἀξιωματικοὺς καὶ τοὺς μεγαλοπρεπεῖς ἐκλέγεται, καὶ οὔτε πάρισα βούλεται τὰ κῶλα ἀλλήλοις εἶναι, οὔτε παρόμοια, οὔτε ἀναγκαίᾳ δουλεύοντα ἀκολουθίᾳ, ἀλλ' εὐγενῆ καὶ ἁπλᾶ καὶ ἐλεύθερα· φύσει τ' ἐοικέναι μᾶλλον αὐτὰ βούλεται, ἢ τέχνῃ, καὶ κατὰ πάθος λέγεσθαι μᾶλλον, ἢ κατ' ἦθος. Περιόδους δὲ συντιθέναι συναπαρτιζούσας ἑαυταῖς τὸν νοῦν τὰ πολλὰ μὲν οὔτε βούλεται· εἰ δέ ποτε αὐτομάτως ἐπὶ

---

dita postremae vocis nota tachygraphica. Sunt et haec adscripta: ἢ κ. (sic.). Repetuntur verba ταῦτά τε — ὁμοίως ex *l.* Cod. Colbertin., ab Hudsono collatus: ὁμοίως, ἢ οὐχ ἧττον, unde lectio Aldina explicatur, et διττογραφίαν esse haec verba. Sive οὐχ ἧττον, sive ὁμοίως praeferas, certe utrumque iungi nequit.

Articulum ante μεγαλοπρεπεῖς omitt. MS. P. Vict. linea notavit.

εἶναι post ἀλλήλοις ab Aldo omissum Marg. supplet.

παρ' ὅμοια, Ald. Emendat. in Marg.

οὔτε ἀναγκαίᾳ, Ald. Emendat. ibid. ἀνάγκῃ δουλεύοντα. ἀκόλουθα δὲ καὶ εὐγενῆ καὶ λαμπρά. MS. et *l.*

μᾶλλον αὐτὸ β., Ald. Emendat. in Marg. μᾶλλον αὐτά β. *l.* ut vulg.

ἢ κατὰ ἦθος, MS.

περιτιθέναι συναπαρτιζούσας ἑαυταῖς τὸν νοῦν, etc. *l.* Conf. Upton. ad h. l. συντιθέναι συναρτιζούσας τὸν νοῦν τ. π. μὲν οὔτε βούλ., vulg. et MS. nisi quod posterior οὐδὲ βούλ. habet.

Digitized by Google

τοῦτο κατενεχθείη, τὸ ἀνεπιτήδευτον ἐμφαίνειν ἐθέλει καὶ ἀφελές· οὔτε προσθήκαις τισὶν ὀνομάτων, ἵνα ὁ κύκλος ἐκπληρωθῇ, μηδὲν ὠφελούσαις τὸν νοῦν χρωμένη, οὔθ' ὅπως αἱ βάσεις αὐτῶν γένοιντο θεατρικαί τινες ἢ γλαφυραὶ, σπουδὴν ἔχουσα, οὐδ' ἵνα τῷ πνεύματι τοῦ λέγοντος ὦσιν αὐτάρκεις συμμετρούμεναι μὰ Δία, οὐδὲ ἄλλην τινὰ πραγματείαν τοιαύτην ἔχουσα ἐπιτηδεύει οὐδεμίαν. Ἐπεὶ τῆς τοιαύτης ἐστὶν ἁρμονίας καὶ ταῦτα ἴδια· ἀγχίστροφός ἐστι περὶ τὰς πτώσεις, ποικίλη περὶ τοὺς σχηματισμοὺς, ὀλιγοσύνδεσμος, ἄναρθρος, ἐν πολλαῖς ὑπεροπτικὴ τῆς ἀκαλουθίας, ἥκιστα ἀνθηρὰ, μᾶλ-

---

τοῦτο κατενεχθῇ, Ald.

ἐμφ. θέλει, id. et MS.

τῶν ante ὀνομάτων ab Aldo insertum damnat Petr. Victor.

μηδὲν ὠφελήσας; MS.

οὔτε ὅπως, idem.

σπουδὴν ἔχουσαι, Ald. Margo: „γρ. σπουδὴν ἔχουσα." ἢ σπουδὴν ἔχουσαι, *l.* In MSo. desunt verba: σπ. ἔχ.

πνεύματι τ. δέοντος, Ald. Emendat. in *l.*

τοιαύτην ἔχουσαν ἐπιτηδεύει· οὐδὲ ἐπὶ τῆς τοιαύτης ἐστὶν ἁρμ., *l.*

τοιαύτ. ἔχουσα ἐπιτήδες οὐδεμίαν. Ἐπὶ τῆς τοιαύτ. ἁρμ., vulg. Quam lectionem ascivi, ea concinnata est ex Codd. *l.* et Colbertino, unde ἐπεὶ, i. e. *quandoquidem* deprompsi. Cetera sunt Colbertino cum vulgari communia. Ἔστι vulg. legitur ex coniectura Uptoni. Ἔστιν praeter Marginem in nullo est.

ἀντίρροπός ἐστι, *l.*

ὀλιγοσυνδ., ἀναίσθιος, idem.

ὑποδεκτικὴ τῆς ἀκολ., et ἀκόμψευστον τὸν ἀρχαϊσμὸν καὶ τὸν πῖνον ἔχουσα ταύτης

Digitized by Google

γαλόφρων, αὐθέκαστος, ἀκόμψευτος, τὸν ἀρχαϊσμὸν καὶ τὸν πῖνον ἔχουσα κάλλος.

Ταύτης δὲ τῆς ἁρμονίας πολλοὶ μὲν ἐγένοντο ζηλωταὶ κατά τε ποίησιν καὶ ἱστορίαν καὶ λόγους πολιτικοὺς, διαφέροντες δὲ τῶν ἄλλων, ἐν μὲν ἐπικῇ ποιήσει ἅ,τε Κολοφώνιος Ἀντίμαχος καὶ Ἐμπεδοκλῆς ὁ φυσικός· ἐν δὲ μελοποιΐᾳ Πίνδαρος· ἐν δὲ τραγῳδίᾳ Αἰσχύλος· ἐν δ' ἱστορίᾳ Θουκυδίδης· ἐν δὲ πολιτικοῖς λόγοις Ἀντιφῶν. Ἐνταῦθα ἡ μὲν ὑπόθεσις ἀπῄτει πολλὰ παρασχέσθαι τῶν εἰρημένων ἑκάστου παραδείγματα, καὶ ἴσως οὐκ ἂν ἀηδὴς ὁ λόγος ἐγένετο, πολλοῖς ὥσπερ ἄνθεσι διαποικιλλόμενος τοῖς ἐαρινοῖς· ἀλλ' ὑπέρμετρον ἔμελλε φανήσεσθαι τὸ σύνταγμα, καὶ σχολικὸν μᾶλλον ἢ παραγγελματικόν. Οὐ μὲν δὴ οὐδ' ἀνεξέλεγκτα παραλιπεῖν τὰ ῥηθέντα ἥρμοττεν, ὡς δὴ φανερὰ καὶ οὐ δεόμενα

κάλλος, idem. καὶ τὸ πῖνον ἔχ., Ald.

δὲ post ταύτης lineola notatur.

λόγους ποιητικοὺς, *l.*

ἐν μὲν ἐπικεῖ ποιήσ., Ald. et *R. l.* Margo: „γρ. ἐπικῇ." Haec verba omitt. MS.

Ἀντίμ. καὶ Ἀλκμαίων, *l.*

ἐν μελοπ. δὲ Π., Ald. ἐν τραγῳδ. δὲ, id. et MS.

ἐν δὲ ποιητικοῖς λόγ., *l.*

ἄνθεσι διαποικιλλόμενος, Ald. ἀνθ. ποικιλλόμενος, vulg.

τοῖς ἀριθμοῖς· ἀλλ' ὑπ., Ald. ἐαρινοῖς, sine articulo, a Schaefero primo recepto, Marg.

Digitized by Google

μαρτυρίας· ἔδει δέ πως τὸ μέτριον ἀμφοῖν λαβεῖν, καὶ μήτε πλεονάσαι τοῦ καιροῦ, μήτε ἐλλιπεῖν τῆς πίστεως. Τοῦτο δὴ πειράσομαι ποιῆσαι, δείγματα λαβὼν ὀλίγα παρὰ τῶν ἐπιφανεστάτων ἀνδρῶν. Ποιητῶν μὲν οὖν Πίνδαρος ἀρκέσει παρακληθεὶς, συγγραφέων δὲ Θουκυδίδης· κράτιστοι γὰρ οὗτοι ποιηταὶ τῆς αὐστηρᾶς ἁρμονίας. Ἀρχέτω δὲ Πίνδαρος, καὶ τούτου διθύραμβός τις, οὗ ἐστιν ἀρχή·

Δεῦτ' ἐν χορὸν, Ὀλύμπιοι,
ἐπί τε κλυτὰν πέμπετε χάριν, θεοὶ,
πολύβατον οἵτ' ἄστεος ὀμφαλὸν θυόεντα
ἐν ταῖς ἱεραῖς Ἀθήναις p. 300.
οἰχνεῖτε, πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν·
ἰοδέτων λάχετε στεφάνων

ἔδει δή πως, Ald. Emendat. in *l.*

τὸ μέτρον ἀμφοῖν, *l.*

ἀρκέσει παραληφθεὶς, Ald.

τῆς ἀντηρᾶς ἁρμ., Marg.

διθ., τίς οὖν ἐστιν ἀρχή; Ald. — In versibus Pindari describendis secutus sum Hermannum ap. Heyn. Pindar. Fragmm. T. III. p. 67. v. 1. Ἴδε τ' ἔνχορον, Ald. Emendat. in *l.* v. ex iisdem libr. eiusdem lectio Ὀλυμποιοὶ corrigitur.

v. 5. εὐκλεαγόραν, Ald. MS. Emendant. in *l.*

v. 6. ἰοδέτην, Ald. Emendat. in *B.* ἔδ' ἐγὼν, *l.*

λάχετε στεφ., Ald. MS. λάχει στεφ., *l.* λάβετε στεφ., vulg. Homer. Il. IV. 48. Οὐ γὰρ μοι ποτὲ βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης, Λοιβῆς τε, κνίσσης τε· τὸ γὰρ λάχομεν

Digitized by Google

τὰν ἐαριδρέπτων λοιβάν·
Διόθεν τέ με σὺν Ἀγλαΐᾳ
ἴδετε, πορευθέντες ἀοιδαῖς
δεύτερον ἐπὶ κισσοδέταν θεὸν,
τὸν Βρόμιον, τὸν Ἐριβόαν βροτοὶ καλέομεν.
Ὑπάτων γόνον μὲν πατέρων μέλπομεν,
γυναικῶν τε Καδμείαν Σεμέλαν.
Ἐν Ἀργέᾳ Νεμέᾳ
μάντιν οὐ λανθάνει
Φοίνικος ἔρνος, ὁπότ', οἰ-

γέρας ἡμεῖς. Pindar. Olymp. X. 72. λάχε στέφανον. Pyth. II. 135. ἔλαχε καρπὸν. Ita hoc verbum constanter accusativo, semel tantum genitivo iungit, Fragm. Incert. XLIII. p. 103.

v. 7. τάντ' ἔαρι δρέπων, Ald. τάν τε ἀριδρέπτων ἀοιδὰν, MS. τάν τε ἐριδρέπτων, *R.* τῶν ἐαριδρέπτων, vulg. v. p. 320.

vv. 9. 10. ἀοιδαὶ δεύτερον, Ald. Emendat. in Marg. ἀοιδὰν δ., *l. R.*

vv. 10. 11. ἐπὶ κισσοδόταν, *v.* κισσοδαῆ θεὸν ὃν, *l.* et MS. ἐπὶ τὸν κισσουδέταν θνατὸν Βρόμιον, τὸν Ἐριβόαν τε βροτοὶ, Ald. θνατὸν pro θεὸν τὸν, *R.* ὃν Βρόμιον, ὃν Ἐριβ., vulg.

v. 12. γόνον μὲν ὑπάτ. πατέρ., Ald. ὑπάτ. γόνον μὲν πατέρ., P. Victor. γόνον ὑπάτ. τε πατέρ., vulg.

μέλπε, γυναικῶν, Ald. μέντε γυν., *l.* μέλπομεν γ., *R.* et *l.* Malim μέλπωμεν.

v. 13. Καδμ. Ἔμολον, Ald. Emendat. in *l.* sed Σεμέλην et ibi et in MSo. scriptum est.

v. 14. Ἐν ἀργεανεμέῳ, Ald. ἀργεα νεμέῳ, MS.

v. 16. Φοίνικος ἐανῶν, Ald. et MS. Φοινικοεάων, *l.*

Digitized by Google

χθέντος Ὥρᾶν θαλάμου,
εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.
Τότε βάλλεται τότε ἐπ' ἄμβροταν
χέρσον ἑραταὶ ἴων φοβαὶ,
ῥόδα τε κόμαισι μίγνυται
Ἀχεῖτε ὀμφᾷ μελέων σὺν αὐλοῖς·
ἀχεῖτε Σεμέλαν ἑλικάμπυκα, χοροί.

Ταῦθ' ὅτι μέν ἐστιν ἐσχυρὰ καὶ στιβαρὰ καὶ ἀξιωματικά, καὶ πολὺ τὸ αὐστηρὸν ἔχει, τραχύνει τε ἁλύπως καὶ πικραίνει τὰς ἀκοὰς μετρίως, ἀναβέ-

---

v. 17. ὥραν θαλάμου, Ald.

v. 18. ἐπάγοισιν ἔαρ, *l.* τότε βάλλεται, idem.

v. 19. τότ' ἐπ' ἀμβρ., Ald. MS. ἄμβροτον χέρσ., Aldin. ex correct. P. Victorii. „Omnia adiectiva composita et in ος terminata apud antiquissimos Graecos per tria genera declinabantur." Porson. ad Eurip. Med. v. 822. conf. Schaefer. ad Nostr. p. 433. *p. 300.*

vv. 20. 21. χθὸν' ἑρατὰν ἴον φοβερᾶτε μέλεσι μίγνυται, Ald. ἑραταὶ ἴων φοβαὶ ῥόδα τε κ. μίγνυνται, *l.* ἑρατὰ ἴων φοβὰ, ῥ. τ. κ. μίγνυνται, vulg.

v. 22. οἰχνεῖτ' ὀμφᾷ, MS. et Ald., et v. ἀχεῖτε ὀμφᾷ, *l.* ὑμνεῖτε ὀμφ., vulg. ut et paullo post ὑμνεῖτε redit. v. Schneider. ap. Heyn. T. III. p. 69. et Addend. p. 162. add. Hermann. T. III. p. 247. s. qui scriptum vult: ἀχεῖται ex Apollon. Dyscoli Gr. p. 223. 8. Sylb.

v. 23. οἰχνεῖτε ut vers. superiori, MS.

μετρίως ἀνακέκληται, Ald. Emendat. in *l.* v. Kuhnken. ad Longin. p. 463. Weisk.

Digitized by Google

βληταί τε τοῖς χρόνοις, καὶ διαβέβηκεν ἐπὶ τὸ πολὺ ταῖς ἁρμονίαις, καὶ οὐ τὸ θεατρικὸν δὴ τοῦτο καὶ γλαφυρὸν ἐπιδείκνυται κάλλος, ἀλλὰ τὸ ἀρχαϊκὸν ἐκεῖνο καὶ αὐστηρὸν, ἅπαντες ἂν, εὖ οἶδ' ὅτι, μαρτυρήσειαν οἱ μετρίαν αἴσθησιν ἔχοντες περὶ λόγους. Τίνι δὲ κατασκευασθέντα ἐπιτηδεύσει τοιαῦτα γέγονεν, (οὐ γὰρ ἄνευ γε τέχνης καὶ λόγου τινὸς, αὐτοματισμῷ δὴ καὶ τύχῃ χρησάμενα, τοῦτον εἴληφε τὸν χαρακτῆρα) ἐγὼ πειράσομαι δεικνύειν. p. 169. 170.

N. T. 1860, 194. Τὸ πρῶτον αὐτὸ κῶλον ἐκ τεσσάρων σύγκειται λέξεως μορίων, ῥήματος καὶ συνδέσμου καὶ δυοῖν προσηγορικῶν. Τὸ μὲν οὖν ῥῆμα καὶ ὁ σύνδεσμος, συναλοιφῇ κερασθέντα, οὐκ ἀηδῆ πεποίηκε τὴν ἁρμονίαν· τὸ δὲ προσηγορικὸν, τῷ συνδέσμῳ συντιθέμενον, ἀποτετράχυνεν ἀξιολόγως τὴν ἁρμογήν. Τὸ p. 300.

ἐπιτοτολὺ coniunctim, Ald.

καὶ οὐ τὸ θεατρικ. δὴ τοῦτ., l. κ. οὔτε θεατρ. τοῦτ., vulg. Articulus, qui vulg. ante αὐστηρὸν ponitur, abest ab l.

εὖ ante οἶδ' ὅτι addidi ex eod. libr.

μαρτυρήσειν οἱ μετρ., Ald.

δὴ post αὐτοματισμῷ adieci ex l.

τύχῃ χρησάμενον, idem.

τοῦτο εἴληφε, Ald. Emendat. in v. l.

τὸ πρῶτ. αὐτὸ κ., l. τ. πρ. αὐτῷ κ., vulg.

οἱ συναλοιφει κερασθ., Ald. ex correct. Petri Vict. Emendat. in Marg.

τὸ γὰρ· ἔγχορον, Ald. Margo: „ἐν χορὸν, ubi ἀντίτυπον καὶ."

Digitized by Google

γὰρ „Ἐν χορὸν" ἀντίτυπόν τε καὶ οὐκ εὐπετὲς, τοῦ μὲν συνδέσμου λήγοντος εἰς ἡμίφωνον στοιχεῖον, τὸ ν, τοῦ δὲ προηγορικοῦ τὴν ἀρχὴν λαμβάνοντος ἀφ' ἑνὸς τῶν ἀφώνων, τοῦ χ· ἀσύμμικτα δὲ τῇ φύσει ταῦτα τὰ στοιχεῖα καὶ ἀκόλλητα. Οὐ γὰρ πέφυκε κατὰ μίαν συλλαβὴν τοῦ χ προτετάχθαι τὸ ν· ὥστε οὐδὲ συλλαβῶν δύο τὰ ὅρια γινόμενα συνάπτει τὸν ἦχον, ἀλλ' ἀνάγκη σιωπήν τινα γίνεσθαι μέσην ἀμφοῖν τὴν διορίζουσαν ἑκατέρου τῶν γραμμάτων τὰς δυνάμεις. Τὸ μὲν δὴ πρῶτον κῶλον οὕτω τραχύνεται τῇ συνθέσει. Κῶλα δέ με δέξαι νυνὶ λέγειν, οὐχ οἷς Ἀριστοφάνης ἢ τῶν ἄλλων τις μετρικῶν δι-

---

καὶ ἀντίτυπον, καὶ, MS.

οὐκ εὐπετὲς, *l.* Margo: „εὐπετὲς an εὐπετὲς, ut in alio, vide 534: εὐπετεστέραν ἁρμονίαν inquit." Mihi quidem fere ubique εὐπετὲς restituendum esse videtur.

ἀσύμμικτα δὲ κατὰ μίαν συλλαβὴν προηγουμένου τοῦ ν, Φύσει ταῦτα τὰ στοιχεῖα καὶ ἀκόλλητα, MS. Ante Uptonum legebatur: ῥύσει ταῦτὰ τὰ etc.

προτάττεσθαι τὸ ν, *l.*

ὥστε τὰ τῶν συλλαβῶν δύο μόρια οὐ συνάπτει τὸν ἦχον, MS. ὥστε οὔτε συλλαβ. τὰ ὅρια γινόμενα, *l.* ὡς. οὐδ. συλλ. δύο τὰ μόρια γιν., vulg.

γ. τύπτει τὸν ἦχ., *l.*

σιωπ. τινα γενέσθαι, *l.*

μέσοϊν ἀμφοῖν, itemque γενέσθαι, MS.

διορ. ἑκατέρων, MS. ita etiam inter versus correctum est.

πραγμάτων τὰς δυνάμεις, Ald. Emendat. in v. *l.*

τὸ δὲ μὴ πρ., Ald. Emendat. ibid.

Digitized by Google

κόσμησε τὰς ᾠδὰς, ἀλλ' οἷς ἡ Φύσις ἀξιοῖ διαιρεῖν τὸν λόγον, καὶ ῥητόρων παῖδες τὰς περιόδους διαιροῦσι.

Τὸ δὲ τούτῳ παρακείμενον κῶλον, τὸ „Ἐπί τε κλυτὰν πέμπετε χάριν," διαβέβηκεν ἀπὸ τοῦ προτέρου διάβασιν ἀξιόλογον, καὶ περιείληφεν αὐτῷ πολλὰς ἁρμονίας ἀντιτύπους. Ἄρχει μὲν γὰρ αὐτοῦ στοιχεῖον ἓν τῶν φωνηέντων, τὸ ε, καὶ παράκειται ἑτέρῳ φωνήεντι, τῷ ι· εἰς τοῦτο γὰρ ἔληξε τὸ πρὸ αὐτοῦ. Οὐ συναλείφεται δὲ οὐδὲ ταῦτα ἀλλήλοις, οὐδὲ πρατάττεται κατὰ μίαν συλλαβὴν τὸ ι τοῦ ε. Σιωπὴ δή τις μεταξὺ ἀμφοῖν γίνεται διερείδουσα τῶν μορίων ἑκάτερον, καὶ τὴν βάσιν ἀποδοῦσα αὐτοῖς ἀσφαλῆ. Ἐν δὲ τῇ κατὰ μέρος συνθέσει τοῦ

διεκόσμησε γὰρ ᾠδὰς, Ald. Emendat. ex iisd. libr.

τὸ δὲ ἐπὶ τούτων παρακ., *l.*

ἐπί τε κλυτὰν π., Ald. Emendat. in *v. l.*

διαβέβηκεν ἀπὸ τοῦ, *l.* βέβηκέ τε ἀπὸ τοῦ, vulg.

περιειλ. ἐν αὐτ., vulg. περιειλ. αὐτ., *l.*

ἐκ τῶν φωνηέντ., *l.*

ἔληγεν ὁ πρὸ αὐτοῦ, *l.*

οὐδὲ παρ' οἷς τάττεται, idem.

Articulum ante μεταξὺ omisi ex Petri Victor. correctione.

βάσιν ἀποδιδοῦσα, *l.*

ἐν δὴ τῇ κατ. μέρος, *v.* συνθέσει τοῦ κώλου τὸ ει

Ἐπὶ εἴτε σύνδεσμοι, *l.* τοῖς μὲν Ἔπειτα συνδέσμ., Ald. ἐν δ. τ. συνθέσει τῶν κώλων, τοῖς μ., vulg.

Digitized by Google

κώλου, τοῖς μὲν Ἐπί τε συνδέσμοις, ἀφ' ὧν ἄρχεται τὸ κῶλον, (εἴτε ἄρα πρόθεσιν αὐτῶν δεῖ τὸ ἡγούμενον καλεῖν) τὸ προσηγορικὸν ἐπικείμενον μόριον, τὸ Κλυτὰν, ἀντίτυπον πεποίηκε καὶ τραχεῖαν τὴν σύνθεσιν. Κατὰ τί δήποτε; Βούλεται μὲν εἶναι βραχεῖα ἡ πρώτη συλλαβὴ τοῦ Κλυτάν· μακροτέρα δέ ἐστι τῆς βραχείας, ἐξ ἀφώνου τε καὶ ἡμιφώνου καὶ φωνήεντος συνεστῶσα. Τὸ δὲ μὴ εἰλικρινῶς αὐτῆς βραχὺ, καὶ ἅμα τὸ ἐν τῇ κράσει τῶν γραμμάτων δυσέκφορον, ἀναβολήν τε ποιεῖ καὶ ἐγκοπὴν τῆς ἁρμονίας. Εἰ γοῦν τὸ κ τὶς ἀφέλοι τῆς συλλαβῆς, καὶ ποιήσειεν Ἐπί τε λυτὰν, λυθήσεται καὶ τὸ βραδὺ καὶ τὸ τραχὺ τῆς ἁρμονίας. Πάλιν τῷ Κλυτὰν προσηγορικῷ τὸ Πέμπετε ῥηματικὸν ἐπικείμενον οὐκ ἔχει συνῳδὸν οὐδ' εὐκέραστον τὸν ἦχον·

καὶ τραχύαν, Aldin. inter versa.

Κατὰ τί ποτε; ὅτι βούλ. μάνειν βρ., *l.*

ἐξ ἀφών. τε καὶ φωνήεντος ἐστῶσα, Ald. Post ἀφών. τε Marg. inserit: καὶ ἡμιφώνου συνεστῶσα, ut ambiguum sit, an in *l.*, unde haec supplet, verba: καὶ φωνήεντος extiterint, nec ne.

τ. γραμμάτων δασυφόρον, Ald. Emendat. in *v.* τ. γραμμ. δυσεκφόρητον, *l.*

καὶ τὸ βραχὺ καὶ τὸ ταχὺ, Ald. Ap. Nostrum Art. XI. 6. lego ex Marg. Victor. οὐ φιλόστοργος, ἀλλὰ τραχὺς, ἀλλὰ σκληρὸς. Vulg. ἀλλὰ ταχὺς, etc.

Digitized by Google

ἀλλ' ἀνάγκη στηριχθῆναι τὸ ν, καὶ πιεσθέντος ἱκανῶς τοῦ στόματος, τότε ἀκουστὸν γενέσθαι τὸ π. Οὐ γὰρ ὑποτακτικὸν τῷ ν τὸ π. Τούτου δὲ αἴτιος ὁ τοῦ στόματος σχηματισμὸς, οὔτε κατὰ τὸν αὐτὸν τόπον, οὐδὲ τῷ αὐτῷ τρόπῳ τῶν γραμμάτων ἑκφέρων ἑκάτερον. [τὸ π καὶ τὸ ν.] Τοῦ μὲν γὰρ ν περὶ τὸν οὐρανόν τε γίνεται ὁ ἦχος, καὶ τῆς γλώσσης ἄκροις τοῖς ὀδοῦσι προσανισταμένης, καὶ τοῦ πνεύματος διὰ τῶν ῥωθώνων μεριζομένου· τοῦ δὲ π, μύσαντός τε τοῦ στόματος, καὶ οὐδὲν τῆς γλώσσης συν-

---

ἱκανῶς τοῦ στόματος τότε, Marg. et MS. ἱκανῶς τούτου, ἀκ., vulg. ἱκ. τοῦτό τε, *l.* conf. p. 330.

ὑποτακτικὸν τὸ π τοῦ κ, Ald. Emendat. in *l.*

τοῦτο δ' αἴτιον ὁ τοῦ, *l.* αἴτιον etiam MS. praebet.

σχήματος σχηματισμὸς ante Uptonum legebatur. Obiter vocabulum σχῆμα restitue ex Marg. Victor. Nostro Art. IX. 7. μέχρι τούτου οἱ (vulg. omittunt articulum.) Ἀχιλλέως λόγοι τὸ σχῆμα ἔχουσιν ὑπανιττομένου εἰς Ἀγαμέμνονα. Articulum servavit Aldina.

κατὰ τὸν αὐτὸν τρόπον, Ald. et MS. Emendant. in *v. l.*

ἑκφέρον ἑκάτερον, *l.* Unde patet in hoc libro σχῆμα pro σχηματισμὸς fuisse, cuius lectionis enotandae P. Victor. fortasse oblitus est.

τὸ π καὶ τὸ ν absunt ab *l.* Uncis inclusi, sunt enim supervacanea.

τοῦ μὲν γὰρ ν, *v. L.* vulg. ν omittunt.

Articulum ante ἦχος revocavi ex Aldina.

τε post οὐρανὸν ab *l.* abest.

ὀδ. προανισταμένης, *l.*

Post μύσαντος Aldin. habet lacunam. Nihil tamen

Digitized by Google

ἐργούσης, τοῦ τε πνεύματος κατὰ τὴν ἄνοιξιν τῶν χειλῶν τὸν ψόφον λαμβάνοντος ἀθροῦν, ὡς δὴ καὶ πρότερον εἴρηταί μοι. Ἐν δὴ τῷ μεταλαμβάνειν τὸ στόμα σχηματισμὸν ἕτερον ἐξ ἑτέρου, μήτε συγγενῆ, μήτε παρόμοιον, ἐμπεριλαμβάνεταί τις χρόνος, δι' οὗ διΐσταται τὸ λεῖον καὶ εὐπετὲς τῆς ἁρμονίας· καὶ ἅμα οὐδὲ ἡ προηγουμένη τοῦ Πέμπετε συλλαβὴ μαλακὸν ἔχει τὸν ἦχον, ἀλλ' ὑποτραχύνει τὴν ἀκοὴν ἀρχομένη τε ἐξ ἀφώνου καὶ λήγουσα εἰς ἡμίφωνον. Τῷ τε Χάριν τὸ Θεοὶ παρακείμενον ἀνακόπτει τὸν ἦχον, καὶ ποιεῖ τὸν διορισμὸν ἀξιόλογον τῶν μορίων· τοῦ μὲν εἰς ἡμίφωνον λήγοντος, τὸ ν· τοῦ δὲ ἄφω-

---

praeter vocalem τε est omissum. Marginis altero loco στοῦ, altero loco μύσαντος τοῦ στόματος καὶ οὐδὲν sunt adscripta.

συνεργούσης, Marg. ἐνεργούσης, vulg. Hanc vocem inter et γλώσσης ex l. inseritur μερίζομένης, quod errore aliquo puto hic immigrasse.

δὴ ante τῷ μεταλαμβ. abest ab l., item τὸ στόμα ante σχηματισμὸν.

δι' οὗ συνίσταται, idem. ἐν ᾧ διΐσταται, vulg.

εὐπετὲς τῆς ἁρμονίας, l. Pari errore ceteris locis fere omnibus εὐπετὲς et εὐπέτεια locum vocabulorum: εὐπετὲς et εὐπέτεια obtinere, mihi persuasum est.

πρσην. τοῦ πέμπε συλλ., l. μακρὸν ἔχει τ. ἦχ., Ald.

ἀρχομένη τε ἐξ ἀφ., l. ἄρχουσά τε ἐξ ἀφ., vulg.

ποιεῖ τὸν ἑρισμὸν, Ald. Emendat. in l.

τὸ ν post λήγοντος omitt.

Digitized by Google

νον ἔχοντος ἡγούμενον, τὸ Θ. Οὐδενὸς δὲ πέφυκε προτάττεσθαι τῶν ἀφώνων τὰ ἡμίφωνα.

Τούτοις ἐπιφέρεται τρίτον κῶλον τουτί· „Πολύβατον οἵτ' ἄστεος ὀμφαλὸν θυόεντα ἐν ταῖς ἱεραῖς Ἀθήναις οἰχνεῖτε." Ἐνταῦθα τῷ τε Ὀμφαλὸν, εἰς τὸ ν λήγοντι, τὸ Θυόεντα παρακείμενον, ἀπὸ τοῦ Θ ἀρχόμενον, ὁμοίαν ἀποδίδωσιν ἀντιτυπίαν τῇ πρότερον· καὶ τῷ Θυόεντα, εἰς φωνῆεν, τὸ α, λήγοντι, ἐπεζευγμένον τὸ Ἐν ταῖς ἱεραῖς, ἀπὸ φωνήεντος, τοῦ ε, λαμβάνον τὴν ἀρχὴν, διέσπακε τῷ μεταξὺ χρόνῳ τὸν ἦχον οὐκ ὄντι ὀλίγῳ. Τούτοις ἐκεῖνα ἕπεται· „Πανδαίδαλόν τ' εὐκλεὲς ἀγοράν." Τραχεῖα κἄνταῦθα καὶ ἀντίτυπος ἡ συζυγία. Ἡμιφώνῳ γὰρ ἄφωνον συνάπτεται γράμμα, τῷ ν τὸ τ· καὶ δια-

---

Ald. τοῦ ν, *l.* Emendavit Sylburg.

ὀμφαλὸν omitt. Ald. Suppletur in Marg.

Verba ἀπὸ τοῦ θ ἄρχ. (ita *l.*) ἀρχόμενον, ab Ald. omissa supplentur in Marg.

ἐκδίδωσιν ἀντιτυπίαν, Marg.

τῷ πρότερον, idem.

λήγοντι, ζευγνύμενον, *l.*

τοῦ ε post φωνήεντος ab Ald. omissa supplentur in eod. libr.

ἐλάμβανον τὴν ἀρχ., Ald. λαμβάνοντος τ. ἀρχ., *l.* Marg.: „γρ. τοῦ ε λαμβάνοντος."

χρόνῳ τὸν χρόνον οὐκ., *l.* εὐκλεαγόραν, ut supr., Ald. Emendat. in *l.*

mox γράμμα abest ab eodem.

Digitized by Google

βέβηκεν ἀξιόλογον διάβασιν ὁ μεταξὺ τοῦ τε προηγορικοῦ, τοῦ Πανδαίδαλον, καὶ τῆς συναλοιφῆς τῆς ἐπισυναπτομένης αὐτῷ χρύνος. Μακραὶ γάρ εἰσιν ἀμφότεραι, μείζων δὲ οὐκ ὀλίγῳ τῆς μετρίας ἡ συναλείφουσα τὰς δύο συλλαβὰς, ἐξ ἀφώνου τε καὶ δυοῖν συνεστῶσα φωνηέντων. Εἰ γοῦν τις ἀφέλοιτο αὐτῆς τὸ τ, καὶ ποιήσειε Πανδαίδαλον εὐκλεᾶ ἀγοράν, εἰς τὸ δίκαιον ἐλθοῦσα μέτρον, εὐπετεστέραν ποιήσει τὴν ἁρμονίαν.

Ὅμοια τούτοις ἐστὶ κἀκεῖνα· „Ἰοδέτων λάχετε στεφάνων.“ Παράκειται γὰρ δύο ἡμίφωνα ἀλλήλοις, τὸ ν καὶ τὸ λ, φυσικὴν οὐκ ἔχοντα συζυγίαν, τῷ

ἀξιολ. διάβασιν, *l.* ἀξιολ. διάστασιν, vulg. conf. supr. p. 312.

ἡ μεταξὺ, vulg. ὁ μεταξὺ, Ald. Articulo paullo post ante Μακραὶ γὰρ ex Marg. suum reddidi substantivum: χρόνος.

τῆς συναπτομένης, *l.* conf. p. 388.

μακρὰ γὰρ ἀμφότερα, *l.* μακραὶ μὲν εἰσιν etc., Ald.

ὀλίγ. τῆς μετρίας, *l.* ὀλ. τῆς συμμετρίας, vulg. conf. p. 340.

αὐτῆς ἀφέλοιτο, mutato ordine vult P. Victor.

Verba: καὶ ποιήσειε — εἰς τὸ ab Aldo omissa in Marg. supplent.

εὐπαστάτην ποιήσει, *l.*

κἀκ. ὁ δ' ἐγὼν λάχει, id. lib. λάχετε, Ald. λάβετε, vulg. ut supra.

γὰρ post παράκειται ascivi ex *l.*

ἡμιφ. δύο mutata serie mavult Petr. Victor.

τῷ μήτε κατὰ etc., Ald. Damnatur τε lineola.

Digitized by Google

μὴ κατὰ τοὺς ὁμοίους σχηματισμοὺς τοῦ στόματος ἐκφέρεσθαι. Καὶ τὰ ἐπὶ τούτοις λεγόμενα μηκύνεται τε ταῖς συλλαβαῖς, καὶ διέστηκε ταῖς ἁρμονίαις ἐπὶ πολύ· „Στεφάνων τὰν ἐαριδρέπτων.“ Μακραὶ γὰρ καὶ δεῦρο συγκρούονται συλλαβαὶ τὸ δίκαιον ὑπεραίρουσαι μέτρον· ἥ τε λήγουσα τοῦ Στεφάνων μερίου, δυσὶ περιλαμβάνουσα ἡμιφώνοις Φωνῆεν γράμμα φύσει μακρὸν, καὶ ἡ συναπτομένη ταύτῃ, τρισὶ μηκυνθεῖσα γράμμασιν, ἀφώνῳ καὶ Φωνήεντι μακρῶς λεγομένῳ καὶ ἡμιφώνῳ. Διορισμός τε οὖν γέγονε τοῖς μήκεσι τῶν συλλαβῶν, καὶ ἀντιτυπίᾳ τῇ παραθέσει τῶν γραμμάτων, οὐκ ἔχοντος τοῦ τ συνῳδὸν τῷ ν τὸν ἦχον, ὡς καὶ πρότερον εἴρηκα.

τοὺς αὐτοὺς ὁμοίους, *l.*

ἐπιπολὺ coniunctim et στεφ. τ' αὖτ' ἔαρι δρέπτων, Ald. στεφ. τ' ἀντ' ἔαρι δρόπτων, *l.* ταν, *R.* ad verba φύσει μακρὸν, Margo: „id est ω natura productum.“

καὶ μὴ μηκυνομένη ταύτῃ, *l.* Ἡ συναπτομένη ταύτῃ, τρισὶ μηκυνθεῖσα γράμμασιν, ἀφώνῳ καὶ Φωνήεντι μακρῶς λεγομένῳ καὶ ἡμιφώνῳ syllaba est τὰν, unde nostram emendationem certissimam esse, luculenter apparet. Nam ω in τῶν non est Φωνῆεν μακρῶς λεγόμενον, sed φύσει μακρὸν.

Φ. καλῶς λεγομένῳ, Ald. Φ. μακρῷ λ., *l.* Φ. μακρῶς λ., *v.*

διερισμός τε, Ald.

ἔχοντος τ τ, *v.* Post haec in Marg. aliquot verba sunt abrasa.

ἦχον ὃ καὶ, *l.*

καὶ ante πρότερον ab Aldo omissum additur ex *v. l.*

Digitized by Google

Παράκειται δὲ καὶ τῷ Λοιβὰν, εἰς τὸ ν λήγοντι, ἀπὸ τοῦ δ ἀρχόμενου ἀφώνου, τὸ Διόθεν τέ με· καὶ τῷ Σὺν Ἀγλαΐᾳ, εἰς τὸ ι λήγοντι, τὸ Ἴδετε πορευθέντες ἀοιδαΐς, ἀρχόμενον ἀπὸ τοῦ ι. Πολλά τις ἂν εὕροι τοιαῦτα, ὅλην τὴν ᾠδὴν σκοπῶν.

Ἵνα δὲ καὶ περὶ τῶν λοιπῶν εἰπεῖν ἐγγένηταί μοι χρόνος, Πινδάρου μὲν ἅλις ἔστω· Θουκυδίδου δὲ λαμβανέσθω λέξις ἡ ἐκ τοῦ προοιμίου ἥδε·

„Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον „τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν „πρὸς ἀλλήλους· ἀρξάμενος εὐθὺς καθισταμένου, καὶ „ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν

δὲ post παράκειται mutatur in τε in *l.*

καὶ τῷ ἀοιδὰν, Ald. Margo: „supra λοιβὰν."

ἀρχόμενον ἀφώνου, *l.* ἀρχ. ἄφωνον, vulg.

τὸ διὸ θέντεμε, Ald. Emendat. in Marg.

τῷ σὺν ἀγλαΐᾳ, Ald. ἀγλαΐαι, Marg. Hic in codice ι non subscriptum, sed adscriptum repetit P. Victor. ut supr. p. 130.

πορευθ. ἀοιδαῖς. Margo ad haec verba: „supra 533. legitur ἀοιδαί." Inter versus adscriptum erat: „abest ab *l.*" sed obliteratum posthac est. ἀοιδὰν, Ald.

περὶ ante τῶν λοιπῶν ab Ald. omissum suppletur ex *v. l.*

Ex iisdem libris corrigitur lectio Aldinae: ἐγγένοιτο.

χρόνος abest ab *l.*, ut inter versus Aldinae indicatur.

οὖν ἅλις, MS.

Digitized by Google

„προγεγενημένων· τεκμαιρόμενός τε, ὅτι ἀκμάζου-
„τές τε ἦσαν ἐς αὐτὸν ἀμφότερον παρασκευῇ τῇ πά-
„σῃ, καὶ τὸ ἄλλο Ἑλληνικὸν ὁρῶν ξυνιστάμενον
„πρὸς ἑκατέρους, τὸ μὲν εὐθὺς, τὸ δὲ καὶ διανοού-
„μενον. Κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς Ἕλλη-
„σιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰ-
„πεῖν, καὶ ἐπὶ πλείστων ἀνθρώπων. Τὰ γὰρ πρὸ
„αὐτοῦ, καὶ τὰ ἔτι παλαιότερα, σαφῶς μὲν εὑρεῖν
„διὰ χρόνου πλῆθος ἀδύνατα ἦν· ἐκ δὲ τεκμηρίων
„ὧν ἐπιμακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμ-

τεκμαιρόμενος, ὅτι, idem.

εἰς αὐτὸν ἦσαν, idem verso ordine. „Praestat, opinor, ἦσαν. Conf. Tittmanni Prolegg. ad Zonar. p. XXXII.“ Schaefer. Imo ἦεσαν. Conf. Photius, c. 47. Zonar. Lex. col. 969. ibiq. Tittmann. Lexicogr. Bibl. Coislin. p. 600. Schol. Platon. Reip. V. 449. a. p. 161. v. Broendstedt. in Bredov. Epp. Parisienss. p. 131.

Verba πρὸς ἑκατέρους absunt a Marg. et Ald. a posteriore etiam haec: τὸ μὲν — διανοούμενον.

τὸν μὲν εὐθὺς, MS.

αὕτη δὲ μεγίστη, id. αὕτ. μεγίστ. δὲ, Ald. Emendat. in *l.*

ὡς δ' εἰπεῖν, MS.

ἐπὶ πλεῖστον ἀνθρ., idem.

In eodem finem habet locus hic Thucydideus verbis: ἀδύνατα ἦν.

Articulus ante ἔτι παλαιότ. ab Aldo omissus additur ex *l.*

ἐρεῖν διὰ χρόν., Ald. Emendat. in *l.*

ὧν μακρότερον σκοπ., *l.*

„βαίνει, οὐ μεγάλα νομίζω γενέσθαι, οὔτε κατὰ „τοὺς πολέμους, οὔτε ἐς τὰ ἄλλα. Φαίνεται γὰρ „ἡ νῦν Ἑλλὰς καλουμένη, οὐ πάλαι βεβαίως οἰκου„μένη, ἀλλὰ μεταναστάσεις τε οὖσαι τὰ πρότερα, „καὶ ῥᾳδίως ἕκαστος τὴν ἑαυτῶν ἀπολείποντες, βια„ζόμενοι ὑπὸ τινῶν ἀεὶ πλειόνων. Τῆς γὰρ ἐμπο„ρίας οὐκ οὔσης, οὐδ' ἐπιμιγνύντες ἀδεῶς ἀλλήλοις, „οὔτε κατὰ γῆν, οὔτε διὰ θαλάσσης, νεμόμενοί τε „τὰ ἑαυτῶν ἕκαστος, ὅσον ἀποζῆν, καὶ περιουσίαν „χρημάτων οὐκ ἔχοντες, οὐδὲ γῆν φυτεύοντες, (ἄδη„λον ὄν, ὁπότε τις ἐπελθὼν, καὶ ἀτειχίστων ἅμα „ὄντων, ἄλλος ἀφαιρήσεται) τῆς καθ' ἡμέραν ἀναγ„καίου τροφῆς πανταχοῦ ἂν ἡγούμενοι ἐπικρατεῖν, „οὐ χαλεπῶς ἀνίσταντο."

Αὕτη πάλιν ἡ λέξις ὅτι μὲν οὐκ ἔχει λείας οὐδὲ συνεξεσμένας ἀκριβῶς τὰς ἁρμονίας, οὐδέ ἐστιν εὐέ-

---

γὰρ ὑμῖν Ἑλλὰς, Ald. Emendat. in *l.* γὰρ ἡσυν Ἑλλ., *R.*

Ἑλλ. κακουμένη, Ald. Emendat. inter verss.

ἑαυτῶν ἀπολιπόντες, *l.*

ὑπὸ τῶν ἀεὶ πλ. Ald. ὑπὸ τινων ἀεὶ πλ. *v. l.* et vulg. v. Toup. ad Longin. p. 487. Weisk.

χαλεπ. ἀνίστατο, Ald. ἀνίσταντο, *v.* Margo: „etiam ap. Thucydid. in editis libris."

πάλιν post αὕτη abest ab *l.* et MSo.

συνεζευγμένας ἀκρ. et οὐδὲν ἐστιν, MS.

πῆς, καὶ μαλακὴ καὶ λελῃθότως ὀλισθαίνουσα διὰ τῆς ἀκοῆς, ἀλλὰ σαλὺ τὸ ἀντίτυπον καὶ τραχὺ καὶ στρυφνὸν ἐμφαίνει, καὶ ὅτι παιηγυρικῆς μὲν ἡ θεατρικῆς οὐδὲ κατὰ μικρὸν ἐφάπτεται χάριτος, ἀρχαϊκὸν δέ τι καὶ αὐθαδὲς ἐπιδείκνυται κάλλος, ὡς πρὸς εἰδότας ὁμοίως τοὺς ἀπαιδεύτους ἅπαντας οὐδὲν δέομαι λέγειν, ἄλλως τε καὶ αὐτοῦ τοῦτό γε τοῦ συγγραφέως ὁμολογήσαντος, ὅτι εἰς μὲν ἀκρόασιν ἧττον ἐπιτερπὴς ἡ γραφή ἐστι, „κτῆμα δὲ εἰς αἰεὶ μᾶλλον ἢ ἀγώνισμα εἰς τὸ παραυτίκα ἀκούειν σύγκειται.“ Τίνα δέ ἐστι τὰ θεωρήματα οἷς χρησάμενος ὁ ἀνὴρ

Verba καὶ μαλακὴ ante καὶ λελῃθ. adieci ex *l.*

Verba καὶ λελῃθότως — — καὶ τραχὺ absunt a MSo. καὶ τραχὺ etiam ab *l.*

καὶ αὐθάδες, idem.

Paullo post ὁμοίως supplotur in Marg. quomodo iam saepius memoratum est.

ὡς πρὸς εἰδότας. Similiter Aristid. Orat. d. Quatuorvir. T. II. p. 119, 4. οὕτω δ' ἦν παρακλήσιος κατὰ τὸν βίον καὶ τὴν πολιτείαν, καὶ τοσοῦτον ἀπεῖχε τοῦ ζῆν πρὸς τὰς ἑτέρων ἡδονὰς, ὥστε φησὶν (leg. φασὶν) οἱ γράψαντες περὶ αὐτοῦ, διδασκάλου τάξιν πρὸς παῖδας, πρὸς τοὺς Ἀθηναίους αὐτὸν ἔχειν.

τοῦτό γε omitt. MS. αὐτ. τε γε, *l.*

δ' εἰσαεὶ, et ὡς τὸ παραυτ., idem.

ἀκούειν abest ab cod.

τίν δὲ ἐστι, *l.*

θεωρήματα τί χρησάμενος, MS.

Digitized by Google

οὕτως εὐπινῆ καὶ αὐστηρὰν πεποίηκε τὴν ἁρμονίαν, δι' ὀλίγων σοι σημανῶ. Ῥᾷον γάρ ἐστι μικρὰ μεγάλων εἶναι δείγματα τοῖς μὴ χαλεπῶς ἐπὶ τὴν τοῦ ὁμοίου τε καὶ ἀκολούθου μεταβαίνουσι θεωρίαν.

Αὐτίκα ἐν ἀρχῇ τῷ Ἀθηναῖος προσηγορικῷ τὸ Ξυνέγραψε ῥῆμα ἐφαρματτόμενον διΐστησιν ἀξιολόγως τὴν ἁρμονίαν. Οὐ γὰρ προτάττεται τὸ σ τοῦ ξ κατὰ συνεκφορὰν τὴν ἐν μιᾷ συλλαβῇ γινομένην. Δεῖ δὴ, τοῦ σ σιωπῇ καταληφθέντος, τότε ἀκουστὸν γενέσθαι τὸ ξ. Τοῦτο δὲ τραχύτητα ἐργάζεται καὶ ἀντιτυπίαν τὸ πάθος. Ἔπειθ' αἱ μετὰ ταύτων γινόμεναι συγκοπαὶ τῶν ἤχων, τοῦ τε ν καὶ τοῦ τ καὶ τοῦ π καὶ τοῦ κ, τετράκις ἑξῆς ἀλλήλαις παρακείμεναι, χαράττουσιν εὖ μάλα τὴν ἀκοὴν, καὶ διασαλεύουσιν ἀξιολόγως τὰς ἁρμονίας, ὅταν φῇ „Τὸν

εὐπινῆ abest ab eod. οὕτως ἀπινῆ, *l.*

δι' ὀλίγ. σοι σημ., *v. l.* vulg. σοι omitt.

ῥᾴδια γὰρ ἔστω, Marg.

ῥῆμα ἐφαμαρτανόμενον, *L.* ῥ. ἁπαρμενον, MS.

τὸ σ τῷ ξ, Ald. Emendat. in *l.*

συνεκφορὰν, Ald. Emendat. ibid.

δεῖ δὴ, *l.* δεῖ δὲ, vulg.

αἱ μετὰ τούτων γινομ., *l.* αἱ μετ. τοῦτο γ., vulg.

συνεκκοπαὶ τῶν ἤχ., Ald. Emendat. in *v.*

ἐξ ἀλλήλαις, Ald. Emendat. in. *l.*

εὖ μάλα καὶ τ. ἀκ., Ald. damnatur lineæ καὶ.

ἀξιολ. τῆς ἁρμ., Ald. Emendat. in *v. l.*

Digitized by Google

πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων." Τούτων γὰρ τῶν μορίων τῆς λέξεως οὐδὲν ὅ,τι οὐχὶ καταληφθῆναι δεῖ καὶ πιεσθῆναι πρότερον ὑπὸ τοῦ στόματος περὶ τὸ τελευταῖον γράμμα, ἵνα τὸ συναπτόμενον αὐτῷ τρανὴν καὶ καθαρὰν τὴν ἑαυτοῦ λάβῃ δύναμιν. Ἔστι πρὸς τούτοις ἡ τῶν φωνηέντων παράθεσις ἡ κατὰ τὴν τελευταίαν τοῦ κώλου τοῦδε γενομένη ἐν τῷ Καὶ Ἀθηναίων, διακέκρουκε τὸ συνεχὲς τῆς ἁρμονίας, καὶ διέστηκε πάνυ αἰσθητὸν τὸν μεταξὺ λαβοῦσα χρόνον· ἀκέραστοι γὰρ αἱ φωναὶ τοῦ τε ε καὶ τοῦ α, καὶ ἀποκόπτουσαι τὸν ἦχον· τὰ δὲ εὐεπὲς οἱ συνεχεῖς τε καὶ οἱ συλλεαινόμενοι ποιοῦσιν ἦχοι.

Καὶ αὖθις ἐν τῇ δευτέρᾳ περιόδῳ τὸ προηγούμενον κῶλον τουτί, „Ἀρξάμενος εὐθὺς καθισταμένου," μετρίως ἁρμόσας ὁ ἀνήρ, ὡς ἂν εὔφωνόν τε

οὐθὲν ὅ,τι, MS.

οὖν καταληφθῆναι, l.

τε ante δεῖ inserit MS. cum Marg.

ἐπὶ τοῦ στόμ., Ald. Emendat. in l.

τελευταῖον ab Aldo omissum supplet. ibid.

καὶ διέστακε, vulg. κ. διέστηκε, l. et MS. Vulgo distinguunt τῆς ἁρμονίας καὶ διέστακε, πάνυ αἰσθ.

πᾶν τ' αἰσθητόν, l.

ἀκέραστοί τε, omitt. τε MS. lineola notat Bet. Victor.

ποιοῦσιν ἦχον, Ald. Emendat. in l.

καὶ αὖθις, idem. Vulg. καὶ omitt.

[καὶ] μάλιστα φαίνεται καὶ μαλακὸν, τὸ μετὰ τοῦτο πάλιν ἐπιτραχύνει καὶ διασπᾷ ταῖς διαχαλάσμασι τῶν ἁρμονιῶν. „Καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι καὶ ἀξιολογώτατον τῶν προγεγενημένων.“ Τρία γὰρ ἀλλήλοις ἑξῆς οὐ διὰ μακροῦ παράκειται τὰ φωνήεντα, συγκρούσεις ἐργαζόμενα καὶ ἀνακοπάς, καὶ οὐκ [illegible]

[illegible]

[illegible]

καὶ ante μάλιστα seclusi. Margo: „non est in R.“ Venit mihi alia quoque emendatio in mentem. Quid si καὶ μάλιστα ex his: καὶ μαλακὸν orta dicamus? Μάλιστα certe et μαλακὰ etiam alibi confusa esse video. Ut hoc utar, vocula μάλιστα videtur restituenda esse Demosthenis loco ab Harpocratione s. v. Ἠιτημένην citato ex Orat. adv. Evagor. p. 683. C. T. IV. p. 265. Schaef. τὰ πρόβατα λαμβάνει ποιμαινόμενα πεντήκοντα μαλακά, καὶ τὸν ποιμένα μετ᾽ αὐτῶν, καὶ πάντα τὰ ἀκόλουθα τῇ ποίμνῃ· ἔπειτα παῖδα διάκονον ὑδρίαν χαλκῆν ἀποφέροντα ἀλλοτρίαν ᾐτημένην, πολλοῦ ἀξίαν. Lego: πεντήκοντα μάλιστα, plus quam, amplius quinquaginta. v. Bast. Epist. crit. p. 87. ss. quo in significatu longe a vero aberrat Weiske ad Xenoph. T. V. p. 473. Neque tamen spernenda est Valckenarii lectio, ad Ammon. p. 14. „*Molles oves*, πρόβατα μαλακὰ“ scribentis, „oratorem dixisse non crediderim. Scribe mihi quaeso μαλλωτὰ, et habebis manum Demosthenis.“ quod Werferus literis ad me datis bene accipi posse ait ita, ut vertas: *unbeschoren, sammt der Wolle.*

πάλιν ἐπιτραχύνει, Marg.

ἀποχαλάσμασι, id.

ἀξίσου διὰ μ., Ald. ἐξ ἧς οὐ δ. μ. [illegible]

κρούσεις ἐργαζόμ., idem.

Digitized by Google

ἐῶντα τὴν ἀκρόασιν ἑνὸς κώλου συνεχοῦς φαντασίαν λαμβάνειν. Ἡ τε περίοδος αὐτῷ λήγουσα εἰς τὸ, Τῶν προγεγενημένων, οὐκ ἔχει τὴν βάσιν εὔγραμμον καὶ περιφερῆ, ἀλλ' ἀκόρυφός τις φαίνεται καὶ ἀκατάστροφος, ὥσπερ μέρος οὖσα τῆς δευτέρας, ἀλλ' οὐχὶ τῆς πρώτης τέλος.

Τὸ δ' αὐτὸ πέπονθε καὶ ἡ τρίτη περίοδος, (καὶ γὰρ ἐκείνης ἀπερίγραφός ἐστι καὶ ἀνέδραστος ἡ βάσις) τελευταῖον ἔχουσα μόριον, „Τὸ δὲ καὶ διανοούμενον" πολλὰς ἅμα περιέχουσα καὶ αὐτὴ φωνηέντων τε πρὸς φωνήεντα ἀντιτυπίας καὶ ἡμιφώνων πρὸς ἡμίφωνα καὶ ἄφωνα· ἅπερ ἐργάζεται τὰ μὴ συνῳδὰ τῇ φύσει καὶ τραχύτητας. Ἵνα δὲ συνελὼν εἴπω, δώδεκά που περιόδων οὐσῶν, ἃς παρεθέμην, εἴ τις αὐτὰς συμμέτρως μερίζοι πρὸς τὸ πνεῦμα, κώλων δὲ τῶν ἐμπεριλαμβανομένων ἐν αὐταῖς οὐκ ἐλατ-

---

φαντασ. λαβεῖν, id.

βάσιν ante εὔγραμμον ab Ald. omissum suppletur in *l.* p. 300. ἀνεπίγραφός ἐστι καὶ ἀνέρωστος.

καὶ αὐτὴ περιέχουσα mutato ordine mavult P. Victor. πρὸς ἡμίφωνα, καὶ ἄφωνα ἅπ. ἐργάζ., Ald. Margo: „καὶ ἄφωνα ἅπερ ἐργάζ. absunt ab *l.*" Vulg. desiderantur καὶ ἄφωνα. Conf. p. 356. 282.

εἴπερ αὐτας, *l.*

κώλων δὲ περιλαμβανομένων., *l.*

ἐν ταύταις οὐκ ἐλαττόνων, idem.

Digitized by Google

τόνων ἢ τριάκοντα, τὰ μὲν εὐεπῶς συγκείμενα καὶ συνεξεσμένα ταῖς ἁρμονίαις οὐκ ἂν εὕροι τις ἕξ ἢ ἑπτὰ τὰ πάντα κῶλα, Φωνηέντων δὲ συμβολὰς ἐν ταῖς δώδεκα περιόδοις ὀλίγου δεῖν τριάκοντα, ἡμιφώνων τε καὶ ἀφώνων ἀντιτύπων καὶ πικρῶν καὶ δυσεκφόρων παραβολάς, ἐξ ὧν αἵ τε ἀνακοπαὶ καὶ τὰ πολλὰ ἐγκαθίσματα τῇ λέξει γέγονε, τοσαύτας τὸ πλῆθος, ὥστε ὀλίγου δεῖν καθ' ἕκαστον αὐτῆς μόριόν εἶναί τι τῶν τοιούτων. Πολλὴ δὲ καὶ ἡ τῶν κώλων ἀσυμμετρία πρὸς ἄλληλα, καὶ ἡ τῶν περιόδων ἀνωμαλία, καὶ ἡ τῶν σχηματισμῶν καινότης, καὶ τὸ τῆς ἀκολουθίας ὑπεροπτικὸν, καὶ τὰ ἄλλα, ὅσα χαρακτηριστικὰ τῆς ἀκομψεύτου τε καὶ αὐστηρᾶς ἐπελογισάμην ὄντα ἁρμονίας. Ἅπαντα γὰρ διεξιέναι

μὲν ante εὐεπῶς ab Ald. neglectum suppletur in eod. libr.

ταῦτα post τὰ πάντα adiectum vult Margo.

συλλαβὰς ἐν ταῖς, Ald. Emendat. in *v.*

καὶ ante ἀντιτύπων habet Ald. Margo: „abest ab *l.*"

δυσεμφόρων παραβ., Ald. Emendatur.

συγκαθίσματα, Ald. Emendat. in *l.*

τοσαῦτα τὸ πλῆθ., Ald.

πολλὴ δὲ καὶ ἡ τ., *l.* π. δέ τε ἡ τ., *v.*

τῶν σχημάτων καινότης, *l.*

ὅσα χαρακτηρικὰ, idem.

τοῖς ἀκομψεύστου, Ald. τῆς ἀκ., *v. l.*

καὶ ἰσχυρὰς ἀπελογησάμην, *l.* ἀπελογησάμην, Ald.

διεξιέναι, *l.* ἐπεξιέναι, vulg.

Digitized by Google

πάλιν ἐπὶ τῶν παραδειγμάτων, καὶ καταδαπανᾶν εἰς ταῦτα τὸν χρόνον, οὐκ ἀναγκαῖον ἡγοῦμαι.

ΤΜΗΜΑ κγ´.

Γλαφυρᾶς καὶ ἀνθηρᾶς συνθέσεως χαρακτήρ.

Ἡ δὲ γλαφυρὰ καὶ ἀνθηρὰ σύνθεσις, ἣν δευτέραν ἐθέμην, τῇ τάξει, χαρακτῆρα τοιόνδε ἔχει. Οὐ ζητεῖ καθ' ἕκαστον ὄνομα ἐκ περιφανείας ὁρᾶσθαι, οὐδὲ ἐν ἕδρᾳ πάντα βεβηκέναι πλατείᾳ τε καὶ ἀσφαλεῖ, οὐδὲ μακροὺς τοὺς μεταξὺ αὐτῶν εἶναι χρόνους, οὐδ' ὅλως τὸ βραδὺ καὶ σταθερὸν τοῦτο φίλον αὐτῇ· ἀλλὰ καὶ κινεῖσθαι βούλεται τὴν ὀνομασίαν καὶ φέ-

---

ἡγοῦμαι, vitiose Ald. Emendatur.

Sect. XXIII. *Inscriptio* apud Aldum haec: ΤΙΣ Ἡ ΓΛΑΦΥΡΑ ΣΥΝΘΕΣΙΣ. Super τίς adpictum hoc signum ∴, cui respondent in Marg. haec: „abest ab *l.*“ ut ambiguum sit, an tota inscriptio defuerit, an solum τίς. Certe alia ex *B.* profertur inscriptio: „B. (sic) π γλαφυ ΣΥΝΘ.“

καὶ ἀνθηρὰ ab Aldo omissa supplentur in *l.*

καθ' ἓν ἕκαστον, Ald. vulgatam praebet *l.*

πλατείῃ τε καὶ ἀσφαλῆ, Marg. πλατεία καὶ ἀσφ. MS. πλ. τ. καὶ ἀσαφῆ, Ald.

μικροὺς τούς, MS.

τοῦτο ante φίλον idem omisit.

ἀλλὰ κακινεῖσθαι, *l.* ἀλλ' κινῆσθαι, MS.

καὶ φέρεσθαι θάτερα κατὰ θατέρων ὀνομάτων, ὥσπερ τὰ ῥέοντα, καὶ συνυφάνθαι, ὡς μιᾶς λέξεως ὄρεξιν διατελεῖν εἰς δύναμιν, MS. κατὰ θατέ-

ρεσθαι θάτερα κατὰ θατέρων ὀνομάτων καὶ ὀχεῖσθαι, τὴν ἀλληλουχίαν λαμβάνοντα [βάσιν], ὥσπερ

ρων ὀνομάτων καὶ ὀχλεῖσθαι τὴν ἀλληλουχίαν λαμβάνοντα ὥσπερ ῥέοντα καὶ μηδέποτε ἀτρ., etc., l. καὶ μηδ. ἀτελοῦντα, Ald. Margo: „γρ. ἀτρεμοῦντα, v. l." καὶ ante θάτερα delevi, ante ὀχεῖσθαι ex libris MSS. reposui. Ex eorundem auctoritate βάσιν seclusi; videtur enim vocabuli ἀλληλουχίαν expositio esse. Non sum nescius, βάσιν saepissime vim obtinere clausulae ordinis periodici, s. numeri, vid. Schott. quem laudat Schaefer. huius libelli p. 298. Weisk. ad Longin. p. 444. Albert. ad Hesych. T. I. c. 701. Et Weiske quidem quod Morum refellens, βάσιν ῥυθμοῦ vertentem: den Gang der Melodie, „primo" ait „der Gang (incessus) tropicum est, nihilque aliud potest significare, nisi *formam* sive *characterem alicuius cantus*," haud obloquar, sed quod addit: „ad quam rem βάσεως nomen vix potest transferri," quid obstet, quin βάσις sensu πορείας tropico ad formam alicuius cantus significandam transferatur, non equidem adsequor. Hesych. Βάσις. ὁ ῥυθμὸς. δηλοῖ καὶ τὴν πορείαν, καὶ βῆμα, καὶ ὁδὸν, et rursus: Βάσις. στήριγμα. ἕδρα. στάσις. ῥυθμὸς. πόρεια. βῆμα. ὁδὸς. Utut est, potuit vocabulo ἀλληλουχίαν haec vox interpretamento esse; priorque rarior est, qua praeter Longin. XXXVI. 4. Nostrum, et quem laudat H. Stephan. Thes. T. I. c. 362. C. Dionys. Areopagitam, qui usus sit, equidem scio neminem: Zonar. Lex. c. 126. ἀλληλουχία· ἡ συνέχουσα καὶ συγκρατοῦσα ἀλλήλους. Scr. συγκροτοῦσα. Βάσιν praestat auctore Gellio Noctt. Att. XI. 13. vertere *gressus*, quam *incessus*. vid. omnino Toll. ad Longin. p. 219. qui, quem locum Demetrii laudat, is

p. 300.

τὰ ῥέοντα νάματα καὶ μηδέποτε ἀτρεμοῦντα· συνηλεῖφθαί τε ἀλλήλοις ἀξιοῖ καὶ συνυφάνθαι τὰ μόρια μιᾶς λέξεως ὄψιν ἀποτελοῦντα εἰς δύναμιν· τοῦτο δὲ ποιοῦσιν αἱ τῶν ἁρμονιῶν ἀκρίβειαι, χρόνον αἰσθητὸν οὐδένα τὸν μεταξὺ τῶν ὀνομάτων περιλαμβάνουσαι· ἔοικέ τε κατὰ τοῦτο τὸ μέρος εὐητρίοις ὑφαῖς, ἢ γραφαῖς συνεφθαρμένα τὰ φωτεινὰ τοῖς σκιεροῖς ἐχούσαις· εὔφωνά τε βούλεται εἶναι πάντα ὀνόματα καὶ λεῖα, καὶ μαλακὰ, καὶ παρθενωπά· τραχείαις δὲ συλλαβαῖς καὶ ἀντιτύποις ἀπέχθεταί που· τὸ δὲ θρασὺ πᾶν καὶ παρακεκινδυνευμένον καὶ δι' εὐλαβείας ἔχει.

---

extat s. 15. κατὰ θατέρων dedi pro vulg. κατὰ τῶν ἑτέρων.

συνειλεῖφθαί τε, *l.*, vulg. συνειλῆφθαι. Conf. p. 342. et passim.

ἀξιεῖ καὶ συν., Ald. Emendat. in *v. l.*

μιᾶς λέξεως, *l.* et MS. τῆς λέξεως, vulg.

διατελοῦντα εἰς δύν., *l.*

οὐδένα αἴσθητον, mutato ordine, MS.

περιλαμβάνουσαι, *l.* et MS. λαμβάνουσαι, vulg.

Praepositio ante τοῦτο τὸ μέρος abest ab *l.* et MSo.

ὑφαῖσιν, Ald.

τάφω . . . . τίνα τοῖς σκ. inter τάφω scil. et τίνα lacuna est. Margo: „γρ. τὰ φωτεινὰ, *l.*" alio loco: „sic ibi τάφω τινα."

εὔφωνά τε εἶναι βούλεται πάντα τὰ ὀνόματα, MS.

ἀπήχθεταί που, Ald. Emendatur in *v. l.* ἀπέχεσθαί π., MS.

Verba που· τὸ δὲ — παρακεκινδυνευμένον ab Aldo omissa supplentur in Marg.

καὶ ante δι' εὐλαβείας abest a MSo.

Digitized by Google

Οὐ μόνον δὲ τὰ ὀνόματα τοῖς ὀγόμασιν ἐπιτηδείως συνηρμόσθαι βούλεται καὶ συνεξέσθαι, ἀλλὰ καὶ τὰ κῶλα τοῖς κώλοις συνυφάνθαι, καὶ πάντα εἰς περίοδον τελευτᾶν, ὡρίζουσα κώλου τε μῆκος, ὃ μὴ βραχύτερον ἔσται μηδὲ μεῖζον τοῦ μετρίου, καὶ περιόδου χρόνον, οὗ πνεῦμα τέλειον ἀνδρὸς κρατήσει· ἀπερίοδον δὲ λέξιν, ἢ περίοδον ἀκώλιστον, ἢ κῶλον ἀσύμμετρον, οὐκ ἂν ὑπομείνειν ἐργάσασθαι. Χρῆται δὲ καὶ ῥυθμῶν οὐ τοῖς μηκίστοις, ἀλλὰ τοῖς μέσοις τε καὶ βραχυτέροις· καὶ τῶν περιόδων τὰς τελευτὰς εὐρύθμους εἶναι βούλεται καὶ βεβηκυίας, ὡς

συναρμόσθαι, Ald. Emendat. in *v. l.*

καὶ συνεξέσθαι absunt ab *l.*

καὶ τὰ κ. δὲ τοῖς κ. συν. βούλεται, καὶ π. εἰς περ. τελ. ὁρίζουσαν κ. τε μῆκος, ὃ μὴ, etc., MS. περ. τελ. ὁρίζουσαν κ. τε, Ald. Vulgo deest ὁρίζουσαν. Scripsi nominativum.

περιόδου μέτρον οὗ, MS. Margo: „μέτρον μεχ" alio loco: „γρ. οὗ. R."

ἀνδρὸς κατήσει, Ald. Emendat. in *v. l.*

οὐκ ἂν ὑπομένειν, Ald. Emendat. ibid.

χρήσεται δὲ, Ald. Emendat. in *l.*

ῥυθμοῖς οὐ τοῖς, MS. et *l.* ῥυθμοῖς αὐτοῖς, Ald. Emendatur in *v. l.*

τοῖς μεγίστοις, MS.

μηκ., μέσοις δὲ καὶ βρ., Ald. Vulgata ex *l.* memoratur.

εὐρύθμους in Marg. adscriptum sub additamenti signo, quanquam Aldinae non deest.

καὶ ante βεβηκυίας ab Aldin. abest.

Digitized by Google

ἐν ἀπὸ στάθμης, τἀναντία πειοῦσα ἐν ταῖς τούτων ἁρμογαῖς, ἢ ταῖς τῶν ὀνομάτων· ἐκεῖνα μὲν γὰρ συναλείφει, ταύτας δὲ διίστησι, καὶ ὥσπερ ἐκ περιόπτου βούλεται φανερὰς εἶναι. Σχήμασί τε οὐ τοῖς ἀρχαιοπρεπεστάτοις, οὐδ' ὅσοις ἡ σεμνότης τις, ἢ βάρος, ἢ τόνος πρόσεστιν, ἀλλὰ ταῖς τρυφερωτέραις καὶ κολακικοῖς ὡς τὰ πολλὰ χρῆσθαι φιλεῖ· ἐν οἷς πολὺ τὸ ἀπατηλόν ἐστι καὶ θεατρικόν. Ἵνα δὲ καὶ κοινότερον αἴ τε καὶ τοὐναντίον ἔχει σχῆμα τῇ πρατέρᾳ κατὰ τὰ μέγιστα· ὑπὲρ ὧν οὐδὲν δέομαι πάλιν λέγειν.

Ἀκόλουθον δ' ἂν εἴη καὶ τοὺς ἐν αὐτῇ πρωτεύσαντας καταριθμήσασθαι. Ἑποποιῶν μὲν οὖν ἔγω-

---

ἂν ante ἐπὶ στάθμης inserui ex MSo. et Aldin., cui inter versus P. Victor. adscripsit.

ταῦτα δὲ διΐς. MS. et *l.* τὰς αὐτὰς δ. δ., Ald.

φανερούς εἶναι, *l.*

βάρος ἢ τόνος πάρεστιν, idem.

τε post τρυφερωτέραις habet Ald.

καὶ κολακικοῖς ὡς τὰ, *v. l.* καὶ θεατρικοῖς χρῶνται ὡς, MS. καὶ μαλακοῖς, vulg.

καὶ post ἵνα, δὲ adieci ex *l.* τοὐναντίον ἔχει, Ald. Corrigit inter vers.

σχῆμα τῆς πρατέρας. Ἑποποιῶν οὖν ἔμοιγε μάλιστα τούτοιν δοκεῖ τὸν χαρακτῆρα ἐξεργάσασθαι Ἡσίοδος, et ita nominativo pergitur. MS. et Ald. τῆς πρατέρας etiam *l.*

τοὺς ἐν ταύτῃ πρ., Marg.

Praepositionis κατὰ in καταριθμήσασθαι habet Marg. notam tachygraphicam, item paullo ante, ubi additur:

Digitized by Google

γε μάλιστα νομίζω τουτονὶ τὸν χαρακτῆρα ἐξεργάσασθαι Ἡσίοδον· μελοποιῶν δὲ Σαπφὼ, καὶ μετὰ ταύτην Ἀνακρέοντά τε καὶ Σιμωνίδην· τραγῳδοποιῶν δὲ μόνον Εὐριπίδην· συγγραφέων δὲ ἀκριβῶς μὲν οὐδένα, μᾶλλον δὲ τῶν πολλῶν Ἔφορόν τε καὶ Θεόπομπον· ῥητόρων δὲ Ἰσοκράτην. Θήσω δὲ καὶ ταύτης παραδείγματα τῆς ἁρμονίας, ποιητῶν μὲν προχειρισάμενος Σαπφὼ, ῥητόρων δὲ Ἰσοκράτην. Ἄρξομαι δὲ ἀπὸ τῆς μελοποιοῦ.

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτα,
Παῖ Διὸς, δολοπλόκε, λίσσομαί σε,
Μή μ' ἄσαισι μηδ' ἀνίαισι δάμνα,
Πότνια, θῦμον.

[illegible] quod exhibendum curavi. Vulg. enim legitur κατὰ μέγιστα [illegible] μὲν οὖν ἔμοιγε κάλλιστα. l. ex eodem: ἔμοιγε κάλλιστα. Est dittographia, aliis scribentibus ut editiones habent, aliis habentibus hanc: Ἐποποιῶν μὲν οὖν ἔμοιγε δοκεῖ τὸν χαρακτῆρα quaeque sequuntur in Codd. illis Gallicis (Reg. 14 et Colbert. sc.)" Schaefer.

καὶ μετ' αὐτὴν Ἀνακρ. [illegible] καὶ ante Θεόπομπον ab Aldo omissum additum ex v. l. [illegible] ῥητόρων τε Ἰσοκ., Marg. p. 300
ῥητ. τε Ἰσ. [illegible] καὶ ταῦτα παρ. Ald. Emendat. in l. [illegible] v. 1 ποικιλόθρον', Apogr. ποικιλόφρον', MS. Ἀφροδίτη, Ald. v. 3 μήτ' ἄσαισι, Ald. Emendat. in v. l. ἄχαισι, MS. v. 4 θυμὸν, Apogr.

Digitized by Google

Ἀλλὰ τυϊδ' ἔλθ', αἴποκα κατερῶτα
Τᾶς ἐμᾶς αὐδᾶς ἀΐοισα πόλλυ
Ἔκλυες, πατρὸς δὲ δόμον λιποῖσα,
Χρύσεον ἦλθες
Ἅρμ' ὑποζεύξασα. κάλοι δὲ σ' ἄγον
Ὠκέες στροῦθοι περὶ γᾶς μελαίνας
Πύκνα δινεῦντες πτέρ' ἀπ' ὠράν' ὠθέ-
ρος διὰ μέσσω.
Αἶψα δ' ἐξίκοντο. Τὺ δ', ὦ μάκαιρα,

---

v. 5. ἀλλὰ τυδ' ἐλθέ που κατ' ἔρωτα, Ald. ποκα, v. τὺ δ' ἐλφέ πόκα τ' ἔρωτα, MS. ἀλλὰ τόδ' ἐλθέ πο κατ' ἔρωτα, Apogr.

v. 6. τὰς ἐμὰς αὐδὰς ἀΐοις. ἀπόλ' ἔκλ., MS. τὰς ἐμὰς αἰδῶς αἴοις ἀπόλας, Ald. τᾶς ἐμᾶς αὐδᾶς αἴοις ἄποτ, Apogr. αὐδὼς, v. l. Margo: „γρ. αὐδᾶς ἄποτ'."

v. 7. ἔκλυε — λιποῖσα, Apogr. Postremum vocabulum etiam Aldina habet. λιποῦσα, vulg. Distinxi ut Brunckius; vulgo post ἦλθες commate distinguunt.

v. 8. χρύσειον, Ald. MS.

v. 9. Ἅρμα, Ald. ὑποτεύξασα, Apogr. σ' ἄγον, id. et Ald.

vv. 10. 11. στρουθοὶ, iidem. πτέριγας μελαίνας, Ald. Supra scriptae sunt literae v. l. περὶ γᾶς μ., MS. et v. περὶ γὰρ μέλαιναν π. δινεῦντες, Apogr. δινεῦντες etiam MS., quod ascivi pro vulgat. δινῦντες, vid. Gregor. Corinth. d. diall. p. 178.

vv. 11. 12. πτέρ' ἀπ' οὐρανῶ αἰθέρος διὰ μέσω, Apogr. Marg. MS. πτ. ἀπ' ὠρανῶ; θέρος δ' ἅμες πω, Ald.

v. 13. αἶψα δ' ἐξίκοντο, Apogr. Marg. αἶψα δ' ἐξίκοντο, MS.

Digitized by Google

Μειδιάσασ' ἀθανάτῳ προσώπῳ;
Ἤρε', ὅ, ττι δ' ἦν τὸ πέπονθα, κὤτι
Δήν τε κάλημι·
Κὤτ' ἐμῷ μάλιστα θέλω γενέσθαι
Μαινόλᾳ θύμῳ· τίνα δ' αὖτε πείθη-
μι σαγηνεύσαν Φιλότατα. Τίς σ', ὦ
Σαπφοῖ, ἀδικῇ;
Καὶ γὰρ αἰ Φεύγει, ταχέως διώξει·
Αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·

---

vv. 15. 16. Εἴρε' ὅττι δ' ἦν τὸ πέπονθα χ' ὥττι δεῦρο μάλιπ' ἐμῶ θέλω γενέσθαι, Apogr. ἤρε', ὅτι — κὤτι δεῦρο κάλημι· κὤτι γ' ἐμῶ — γενέσθω, MS. κ' ὅττι, et ὅ,ττι, vulg. v. Gregor. Cor. p. 190. ἤρε' — πέπονθε, κ' ἅττι δι' ἦν τε κ., Ald. ὅττι, Marg., alio loco: „γρ. πέπονθα." κάλημμι, vulg.

vv. 18. 19. μαινώλᾳ θυμῷ τίνα δ' ηὖτε πειθὼ καὶ σαγινόευσαν Φιλότητα, Apogr. καινόλα — εὖτε πείθωμαι σαγηνεύσαν Φιλότατά τις, Ald. πείθημμι σαγηνέσσαν Φιλότητα, ut infra Φιλήσει, vulg. δ' ηὖτε πειθῶ καὶ σαγήνεσσαν Φ., MS.

vv. 19. 20. τίς ὦ Σαπφὼ δίκη, Apogr. MS. τίς σωψαπφραδίκη, Ald. ω σαφὼ δίκη, Marg. δίκης, l.

v. 21. αἰ Φεύγ., Apogr. MS. Ald.

v. 22. αἰ δέ κε δῶρα μὴ δέχεται, Apogr. αἰ δ. δ. μὴ δὲ καὶ τἄλλα, MS. (Ap. Nostr. Art. Rhetor. X. 5. scrib. „οἶδα τοίνυν, ὅτι ἐρεῖ" ἰκαὶ „ἀλλὰ νὴ Δία, ἐρεῖ." ap. Plutarch. V. Eumen. c. 18. T. IV. p. 67. malim: ναὶ μὰ τὸν Δία — καὶ τότε εἶχον.)

Digitized by Google

Αἱ δὲ μὴ Φιλεῖ, ταχέως Φιλάσει,
Κωὐκ ἐθέλοισαν.
Ἔλθέ μοι καὶ νῦν, χαλεπᾶν δὲ λῦσον
Ἐκ μεριμνᾶν, ὅσσα δέ μοι τελέσσαι
Θῦμος ἱμέρρει, τέλεσον, τὺ δ' αὐτὰ
Σύμμαχος ἔσσο.

Ταύτης τῆς λέξεως ἡ εὐέπεια καὶ ἡ χάρις ἐν τῇ συνεχείᾳ καὶ λειότητι γέγονε τῶν ἁρμονιῶν. Παράκειται γὰρ ἀλλήλοις τὰ ὀνόματα καὶ συνῴφανται κατά

Margo: „γρ. δέχηται." αἱ δὲ δ. μὴ δὲ κέτ., ἄλλα, Ald. ἄλλα inter versus est correctum.

v. 23. αἱ δὲ μὴ Φ., idem.

v. 24. κὠὔκιθέλοις, id. κὤτ' εἰ καὶ θέλεις, MS. καὶ αἱ κ' ἐθέλοις, Apogr. Recepi Schaefari coniecturam, lectionis Aldinae et Regii 1. item Colbertini vestigia presse sequentem. ἢ σὺνὶ ἐθέλλοις, vulg.

v. 25. ἐθέλοιμι κ. νῦν, χαλεπᾶν δ. λ. ἐκμερίμναν, Ald. Emendat. in Marg.

v. 27. τελέσαι θυμὸς σὺ δ' αὐτὰ, Apogr. ὅσα — τελέσαι — ἱμέρει — δ' αὐτᾶ, MS. ἱμέρρει scripsi, Brunckium secutus. Vulgo cum spiritu aspero efferunt. ὅσα — ἱμέρει, τελέσσον, Ald. ὅσα inter versus corrigitur.

v. 28. Post σύμμαχος in Aldin. est lacuna. Margo: „ἔσσο τ', sic ibi, ex utraque parte relicto spatio, ut et 540 et 541." Cogitavit spatium in fine et initio alterutrius versus.

τὺ pro σὺ scripsi cum Brunckio, ut supra quoque occurrit.

ἐν τῇ συνεχείᾳ, l. ἐν τ. συνεπείᾳ, vulg. p. 300.

λειότητι λέγει, Ald. Emendatur in l.

Digitized by Google

τινας οἰκειότητας καὶ συζυγίας φυσικὰς τῶν γραμμάτων. Τὰ γὰρ φωνήεντα τοῖς ἀφώνοις τε καὶ ἡμιφώνοις συνάπτεται, μικροῦ δεῖν, δι' ὅλης τῆς ᾠδῆς, ὅσα προτάσσεσθαί τε καὶ ὑποτάσσεσθαι πέφυκεν ἀλλήλοις κατὰ μίαν συλλαβὴν συνεκφερόμενα· ἡμιφώνων δὲ πρὸς ἡμίφωνα ἢ ἄφωνα, καὶ φωνηέντων πρὸς ἄλληλα συμπτώσεις αἱ διασαλεύουσαι τοὺς ἤχους ὀλίγαι πάνυ εἰσίν. Ἔγωγ' οὖν ὅλην τὴν ᾠδὴν ἀνασκοπούμενος, πέντε ἢ ἓξ ἴσως εὕρον, ἐν τοῖς τοσούτοις ὀνόμασι καὶ ῥήμασι καὶ τοῖς ἄλλοις μορίοις, ἡμιφώνων τε καὶ ἀφώνων γραμμάτων συμπλοκὰς τῶν μὴ πεφυκότων ἀλλήλοις κεράννυσθαι, καὶ οὐδὲ ταύτας

---

verba τε καὶ ἡμιφώνοις omitt. MS.

μικροῦ διὰ πάσης τῆς ᾠδῆς, idem. ἁπάσης, *l.*

τε post προσάσσεσθαι omitt. MS.

Post ὑποτάσσεσθαι inserui verba: πέφυκεν ἀλλήλοις κατὰ μίαν συλλαβὴν συνεκφερόμενα, ex MSo. *R.* et *l.*, qui postremus habet συνεκφέρεσθαι. conf. p. 330.

ἡμιφώνων τε πρὸς ἡμίφωνα, καὶ ἀφώνων καὶ φωνηέντων πρὸς ἄλληλα συμπ., αἱ διαλεύουσι, etc., MS. Conf. p. 282.

334. ἡμιφώνων δὲ πρὸς ἡμίφ. καὶ φωνηέντων, Ald. ἡμιφ. δὲ πρ. ἡμ. ἢ ἄφωνα, καὶ φ., ut in libris edd., Marg.

πάνυ εἰσιν, *l.*

ὅλην τὴν ὁδὴν, Ald. Emendat. in *v. l.*

τοσούτοις ante ὀνόμασι abest ab *l.* τοιούτοις, Ald.

ἡμιφώνων τε ἀσμάτων, Ald. ἀμμάτων, v. Margo: „γρ. ἡμιφώνων γραμμάτων." τε καὶ ἀφώνων γραμμάτων, *l.* Vulgo desunt verba: καὶ ἀφώνων.

Digitized by Google

ἐπὶ πολὺ τραχυνούσας τὴν εὐέπειαν· Φωνηέντων δὲ παραθέσεις, τὰς μὲν ἐν τοῖς κώλοις αὐτοῖς γινομένας, ἧττι ἐλάττους ἢ τοσαύτας· τὰς δὲ συναπτούσας τὰ κῶλα ἀλλήλοις, ὀλίγῳ τινὶ τούτων πλείονας. Εἰκότως δὴ γέγονεν εὕρους τις ἡ λέξις καὶ μαλακὴ τῆς ἁρμονίας τῶν ὀνομάτων μηδὲν ἀποκυματιζούσης τὸν ἦχον. Ἔλεγον δ' ἂν καὶ τὰ λοιπὰ τῆς συνθέσεως ταύτης ἰδιώματά, καὶ ἀπεδείκνυον ἐπὶ τῶν παραδειγμάτων τοιαῦτα ὄντα, οἷα ἐγὼ φημι, εἰ μὴ μακρὸς ἔμελλεν ὁ λόγος γενήσεσθαι, καὶ ταυτολογίας τινὰς δόξαν παρέξειν. Ἐξέσται γάρ σοι καὶ παντὶ ἄλλῳ καθ' ἓν ἕκαστον τῶν ἐξηριθμημένων ὑπ' ἐμοῦ κα-

---

εὐρίσκων Marg. inserit post εὐέπειαν ex *l.* Ante Uptonum et Schaefer. legebatur τὴν εὐέπειαν εὐρ. σκων, abest a Reg. 1. et Colbert et sane abesse potest, cum εὕρον praecesserit in eadem sententia." Upton. „Delevi." Schaefer. — Paullo ante κεκράνυσθαι, Ald. Emendat. in *v. l.*

εὕρους τις ἡ λέξις. Hunc ordinem numeris indicavit P. Vict. servatque MS. τις ab Ald. omissum suppletur in *v. l.* Vulg. ἡ λέξις εὕρους τις.

δόξαν παρέξειν, *l.* δ. παρέχειν, vulg.

καὶ ante παντὶ ἄλλῳ ab Aldo omissum additur in Marg. „Legendum videtur καὶ παντὶ ἄλλῳ, *et cuilibet alii.*" Sylburg. Et ita rescripsit primus Upton.

super ἕν ante ἕκαστον inter versus superscripta est litera *l.*

ἐξηριθμένων, Ald. P. Vict. super prius ε scripsit α.

Digitized by Google

τὰ τὴν προέκθεσιν τοῦ χαρακτῆρος ἐπιλέγεσθαί τε καὶ σκοπεῖν ἐστὶ τῶν παραδειγμάτων κατὰ πολλὴν εὐκαιρίαν καὶ σχολήν. Ἐμοὶ δ' οὐκ ἐγχωρεῖ τοῦτο ποιεῖν, ἀλλ' ἀπόχρη πᾶσι δεῖξαι μόνον ἀρκούντως ἃ βούλομαι τοῖς δυνησομένοις παρακολουθῆσαι.

Ἑνὸς ἔτι παραθήσομαι λέξιν ἀνδρὸς εἰς τὸν αὐτὸν κατεσκευασμένην χαρακτῆρα, Ἰσοκράτους τοῦ ῥήτορος, ὃν ἐγὼ μάλιστα πάντων οἶομαι τῶν πεζῇ τῇ λέξει χρησαμένων ταύτην ἀκριβοῦν τὴν ἁρμονίαν. Ἔστι δὲ ἡ λέξις ἐκ τοῦ Ἀρεοπαγιτικοῦ ἥδε·

„Πολλοὺς ὑμῶν οἶομαι θαυμάζειν, ἥντινά ποτε „γνώμην ἔχων, περὶ σωτηρίας τὴν πρόοδον ἐποιησά-

---

κατὰ τὴν προέθεσιν τοῦ χαρ., *l.*

Articulum ante παραδειγμάτων addidi ex P. Victorii correctione.

ἐμὸν δ' οὐκ, Ald. Emendat. in *v. l.*

ἀπόχρη πᾶσι, *l.* vulg. omitt. πᾶσι.

παραθήσομαι λέξιν, l. vulg. παραθήσω λ. „Frequentissimus usus medii in hac verbi significatione: longe rarior activi." Schaefer.

τὸν κατεσκευασμένον omisso αὐτὸν, *l.* Ald. et *v.* nullo vocabulo omisso. Margo: „γρ. κατεσκευασμένην."

ἡ ἐγὼ μάλιστα, Marg.

Ἀρεοπαγητικοῦ, Ald.

τὴν πρόοδον, *v.* περίοδον, Ald. πρόοδον, *l.* ut vulg. πρὸ et πρὸς confusa sunt ap. Nostr. Art. IX. 7. πρότερον δὲ καὶ ἄλλο εἶδος εἰδώμεν λόγων ἐσχηματισμένων, διπλοῦν τοῦτο, τὸ μὲν, πρὸ τῆς τῶν

Digitized by Google

„μην· ὥςπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης, ἡ σΦα-
„λερῶς αὐτῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ' οὐ
„πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρή-
„νην δὲ καὶ τὰ περὶ τὴν χώραν ἀγούσης, καὶ τῶν
„κατὰ θάλατταν ἀρχούσης· ἔτι δὲ συμμάχους ἐχού-
„σης πολλοὺς μὲν, τοὺς ἑτοίμως ἡμῖν, ἤν τι δέῃ,
„βοηθήσοντας, πολὺ δὲ πλείους, τοὺς τὰς συντάξεις

μελλόντων λεχθήσεσθαι παρρησίας ἔνδειξιν τῶν λεχθησομένων ἀσΦαλῆ, προανακρουομένην τὸ λυπηρὸν τοῦ ἀκούσματος· — ita Marg. Victor. Jam quae sequuntur, vexatissima sunt. Conf. ead. sect. ἀσΦάλεια πρὸ τῆς ἀποκρίσεως. Juvat hic ex eodem fonte aliquot eiusdem libri, corruptissimi illius, locos emendatiores adscribere. IX. 12. malim: δημηγορῶν γὰρ καὶ παρακαλῶν Ἀθηναίους ἐπὶ τὸν πόλεμον συνέπλεξε τοῦ ἐπιτα-Φίου κεΦάλαια τῇ παραινέσει. Vocabulum παραίνεσις repone IX. 6. prope fin. καὶ ἐπὶ τέλει ἔῤῥιψε τὴν παραίνεσιν τὴν πρὸς Ἀγάθωνα. ibid. c. 15 extr. ταῦτα μαθὼν ὁ γέρων, οἷδε τέχνην κατὰ τέχνης.

Inter versus super καθεστώτων adscriptae sunt literae v. l. Margo: „apud Isocratem: καθεστηκότων."

πλείους καὶ τριήρ., Ald. Emendat. in v. l.

εἰρήνης δέ καὶ, l.

καὶ ante τὰ περὶ omitt. MS.

χώραν ἐχούσης, Ald. Margo: „ἀγούσης apud Isocratem."

καὶ τῷ κατὰ, Ald. Emendat. in v. l.

Articulum ante ἑτοίμως omitt. MS.

ἑτοίμους, Ald.

ἤν τι δέοι, MS.

πολλοῦ δὲ πλείους, id.

Articulum ante συντάξεις ab Aldo omissum Marg. supplet.

Digitized by Google

„ὑποτελοῦντας, καὶ τὸ προσταττόμενον ποιοῦντας.
„Ὧν ὑπαρχόντων, ἡμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶ-
„ναι θαῤῥεῖν, ὡς πόῤῥω τῶν κινδύνων ὄντας· τοῖς
„δ' ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι, καὶ
„βουλεύεσθαι περὶ σωτηρίας."

„Ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ
„λογισμῷ, καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε, καὶ
„πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα ταύτῃ τῇ δυνάμει

ἐπιτελοῦντας, *l.* v. Schaefer.

ὑμᾶς μὲν ἄν, MS.

ἡμεῖς μὲν οὖν, Ald. Emendat. in *l.*

τούτῳ χρησάμενοι, MS.

ἐμῆς προόδου, Ald. πρόδου, i. e. προσόδου, Marg. Thucyd. IV. 103. καὶ τότε δεξάμενον αὐτὸν τῇ πόλει, καὶ ἀποστάντες τῶν Ἀθηναίων ἐν ἐκείνῃ τῇ νυκτὶ κατέστησαν τὸν στρατὸν πρόσω ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ. Mihi quidem vehementer placet lectio marginal. Cod. Casselani: πρὸ ἕω, quae docet, quare nocte praesertim Brasidas imprudentibus Amphipolitensibus exercitum traiecerit, eius urbis incolis paullo a [illegible] remotius habitantibus. Nondum comperi, quae Heilmanni sententia sit, quam in animadver. crit. in Thucyd. p. 47. scribit sese proudisse. Pari modo πρὸς ἕω placet prae altera lectione πρόσω ap. Plutarch. V. Alex. 62. T. IV. p. 336. Τοὺς μέντοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν ἀμβλυτέρους ἐποίησε, καὶ τὸ πρὸς ἕω (V. πρόσω.) τῆς Ἰνδικῆς ἔτι προελθεῖν (V. προελθεῖν.) ἐπέσχε. Conf. sequentia: μόλις γὰρ ἐκεῖνον ὠσάμενοι — ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περάσαι ποταμὸν — —

τῇ δυνάμει ταύτῃ, MS.

Digitized by Google

„κατασχήσειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δε-
„διώς. Ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν
„οἰομένας, κάκιστα βουλευομένας· καὶ τὰς μάλιστα
„θαῤῥούσας, εἰς πλείστους κινδύνους καθισταμένας.
„Αἴτιον δὲ τούτων ἐστὶν, ὅτι τῶν ἀγαθῶν καὶ τῶν
„κακῶν οὐδὲν αὐτὸ καθ' αὐτὸ παραγίνεται τοῖς ἀν-
„θρώποις, ἀλλὰ συνέστακται καὶ συνακολουθεῖ τοῖς
„μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια, καὶ μετὰ
„ταύτης ἀκολασίαι, ταῖς δὲ ἐνδείαις καὶ ταῖς ταπει-
„νότησι σωφροσύνη καὶ πολλὴ μετριότης· ὥστε χα-

εἰς πλεῖστον κίνδυνον, MS. et l. φλείστους, v. πλείους, Ald.

„αὐτὸ περιγίνεται, apud Isocratem παραγίνεται." Marg.

τοῖς μὲν πλουσίοις, l. πλούτοις, MS. conf. Schaefer. add. Plutarch. V. Timole. 28. Alex. 34. 39. v. Bast ad Gregor. Corinth. p. 275.

ταύτης ἀκολασίαι, Ald. Vulgo singularis. Ex eiusmodi numerorum enallage explicari posse existimo corruptelam loci Thucydidei VII. 75. — εἴτε δὲ προλείποι ἡ ῥώμη καὶ τὸ σῶμα, οὐκ ἄνευ ὀλίγων ἐπιθυμιῶν καὶ οἰμωγῆς ἀπολειπόμενοι (ἀπώλλυντο sc.) Sensus existit a mente scriptoris prorsus alienus. In libris scriptis ne minima quidem discrepantia, nisi Cod. Mosq. videtur unus recte offerre οἰμωγῶν. Solent vocabula luctum significantia tum a poetis, tum a prosae orationis auctoribus plurali numero efferri. Ut his defungar, Heliodor. p. 377, 32. ὀδυρμοῖς, p. 24, 36. ὀλολυγμοῖς, p. 260, 37. ὀδυρμῶν. Thucyd. II. 51.

Digitized by Google

„λεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις δέξαιτο τῶν „μερίδων τούτων τοῖς παισὶ ταῖς αὑτοῦ καταλιπεῖν. „Ἴδοιμεν γὰρ ἄν, ἐκ μὲν τῆς Φαυλοτέρας εἶναι δοκού„σης ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὰ πολὺ τὰς πράξεις

ὀλοφύρσεις. VI. 30. ὀλοφυρμῶν. Longin. d. subl. IX. 12. τὰς ὀλοφύρσεις καὶ τοὺς οἴκτους. Plutarch. V. Eumen. 11. κραυγαῖς. V. Alex. 52. στεναγμούς. Lucian. T. III. p. 24. οἰμωγάς. T. VII. p. 211. οἰμωγαί. T. III. p. 176. ὀδυρμῶν. T. V. p. 48. οἰμωγῶν. Homer. Hymn. Ven. 19. Herm. ὀλολυγαί. Callimach. Lavacr. Pall. 139. ὀλολυγαῖς. Epigrammatist. ap. Dorv. ad Charit. p. 357. v. 4. ὀδυρμούς. Pro ὀλίγων Heilmannus coniecerat λυγρῶν, alii aliter, quorum tentamina piget referre. Ut paucis absolvam, videtur mihi ὀλολυγῶν interpretamentum vocabuli οἰμωγῶν in ordinem a margine irrepsisse, quo facto in locutionem abiit: οὐκ ἄνευ ὀλίγων, sexcenties apud hunc scriptorem obviam. Hesych. οἰμωγαὶ· θρῆνοι, ὀδυρμοὶ, στεναγμοί. Sententio quam dura rapio a me inita criticis non possit non videri; verum dicam cum Wassio ad h. l. „*Qui melius quid habes, arcesse!*“ Fuit ubi tentarem: οὐκ ἄνευ ὀλολυγίων ἐπιθειασμῶν κ. οἰμ. lectis Eustathii (d. Ism. X. 393.) his: ἐκώκυσεν ὀλολύγιον. Simile est vocabulum διωλύγιος, quod haud admodum est rarum. v. Dorv. ad Charit. p. 368. Sed intelligo iam, haud satis firma hoc auctoritate, niti. Ἐπιθειασμοὶ sunt deorum imprecationes et obsecrationes, de quibus v. id. p. 490.

ἄν τις αὑξαιτο, Ald. Marg. δέξαιτο.

τούτων τῶν μερίδων, MS. μὲν ante τῆς Φαυλότ. ab Ald. omissum suppletur in M.

Digitized by Google

„ἐπιδιδούσας· ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ „τὸ χεῖρον εἰθισμένας μεταπίπτειν."

Ταῦθ' ὅτι συνήλειπταί τε καὶ συγκέχρωσται, καὶ οὐ καθ' ἓν ἕκαστον ὄνομα ἐν ἕδρᾳ περιφανεῖ καὶ πλατείᾳ βέβηκεν, οὐδ' ἐν μακροῖς τοῖς μεταξὺ χρόνοις διείργεται καὶ διαβέβηκεν ἀπ' ἀλλήλων, ἀλλ' ἐν κινήσει τε ὄντα φαίνεται καὶ φορᾷ καὶ ῥύσει συνεχεῖ, πραεῖαί τε αὐτῶν εἰσι καὶ μαλακαὶ καὶ προσετεῖς αἱ συνάπτουσαι τὴν λέξιν ἁρμονίαι, τὸ ἄλογον ἐπιμαρτυρεῖ τῆς ἀκοῆς πάθος. Ὅτι δ' οὐκ ἄλλα τινὰ τούτων ἐστὶν αἴτια, ἢ τὰ προειρημένα ὑπ' ἐμοῦ περὶ τῆς ἀγωγῆς ταύτης τῶν λόγων, ῥᾴδιον ἐξ ἐκείνων ἰδεῖν. Φωνηέντων μὲν γὰρ ἀντιτυπίαν οὐκ ἄν τις οὐδεμίαν εὕροι, ἐν γοῦν οἷς παρεθέμην ἀριθμοῖς,

---

Post μεταπίπτειν in Aldin. vacuum spatium est relictum, quod Petr. Vict. lineis explevit.

Mox Margo: „γρ. συνείλεπται." MS. συνείληπται ut vulgo. vid. supr. ad pag. 338.

καὶ συγκέχρηται, Ald. Emendat. in *v. l.*

οὐδὲν ἕκαστον ὄν, Marg. et MS.

οὐδὲν μακροῖς, *l.* Fort. οὐδὲ μ.

τε ὄντα absunt a MSo. item αὐτῶν et verba: καὶ μαλακαὶ καὶ προσετεῖς.

παρεῖναί τε αὐτῶν, Ald. Emendat. in *v. l.* πραεῖαι καὶ προσφυεῖς αἱ συναπτ., *l.*

ἐξ ἐκείνων post ῥᾴδιον ascivi ex MSo.

εὕροι, ab Aldo omissum Margo ex *l.* inserit post οὐκ ἄν.

Digitized by Google

οἶομαι δ' οὐδ' ἐν ὅλῳ τῷ λόγῳ, πλὴν εἴ τί με διαλέληθεν· ἡμιφώνων δὲ καὶ ἀφώνων ὀλίγας, καὶ οὐ πάνυ ἐκφανεῖς, οὐδὲ συνεχεῖς. Ταῦτα δὴ τῆς εὐεπείας αἴτια τῇ λέξει γέγονε, καὶ ἡ τῶν κώλων συμμετρία πρὸς ἄλληλα, τῶν τε περιόδων ὁ κύκλος, ἔχων τι περιφερὲς καὶ εὔγραμμον καὶ τεταμιευμένον ἄκραις ταῖς συμμετρίαις· ὑπὲρ ἅπαντα δὲ ταῦτα οἱ σχηματισμοὶ οἱ πολὺ τὸ νεαρὸν ἔχοντες· εἰσὶ γὰρ ἀντίθετοι, καὶ παρόμοιοι, καὶ πάρισοι, καὶ οἱ παραπλήσιοι τούτοις, ἐξ ὧν ἡ πανηγυρικὴ διάλεκτος ἀποτελεῖται. Οὐκ ἀναγκαῖον εἶναί μοι δοκῶ μηκύνειν καὶ τὰ λοιπὰ διεξιών· ἱκανῶς γὰρ εἴρηται καὶ περὶ ταύτης τῆς συνθέσεως, ὅσα γε ἥρμοττεν.

οἶομαι δ' οὐδέν, Ald. Marg.: „γρ. οὐδ' ἐν." οὔτ' ἐν. *l.*

οὐ σφόδρα ἐκφ., *l.*

ταῦτα δὴ τῆς, id. Vulg. ταῦτ. δὲ τ.

εὐπρεπείας, Ald. ex *l.* memoratur vulgata.

τε ante περιόδων ab Aldo omissum inter versus additur.

κύκλος ἔχοντι, Ald. Emendat. in *l.*

περιφερὲς καὶ εὐθύγραμμον, *l.* conf. supr. p. 334. Vulg. περιφανὲς καὶ εὐθ.

ἀκρῶς ταῖς συμμ.

οἱ πολλοὶ τὸ νεαρὸν, Ald. Emendavit Upton. et post illum Schaefer.

μοι ante δοκῶ omitt. Ald.

γε ante ἥρμοττεν abest ab *l.*

Digitized by Google

ΤΜΗΜΑ κδ'.

Κοινῆς, εἴτε μέσης συνθέσεως χαρακτήρ.

Ἡ δὲ τρίτη τε καὶ μέση τῶν εἰρημένων δυοῖν ἁρμονιῶν, ἣν εὔκρατον καλῶ ἐγὼ, σπάνει τε κυρίου καὶ κρείττονος ὀνόματος, σχῆμα μὲν ἴδιον οὐδὲν ἔχει, κεκέρασται δέ πως ἐξ ἐκείνων μετρίως, καὶ ἔστιν ἐκλογή τις τῶν ἐν ἑκατέρᾳ κρατίστων. Ὧν αὕτη δοκεῖ μοι τὰ πρωτεῖα ἐπιτηδεία εἶναι φέρεσθαι, ἐπειδὴ μεσότης μὲν ἐστί τις, μεσότης δὲ ἡ ἀρετὴ καὶ βίων, καὶ ἔργων, καὶ τεχνῶν, ὡς Ἀριστοτέλει τε δοκεῖ, καὶ τοῖς ἄλλοις, ὅσοι κατ' ἐκείνην τὴν αἵρεσιν φιλο- p. 300.

Sect. XXIV. *Inscriptio* apud Aldum: ΠΕΡΙ ΚΟΙΝΗΣ ΑΡΜΟΝΙΑΣ. „περὶ κοινῆς συνθέσεως," Marg. Alio loco: „abest inscriptio ab *l.*"

τε post τρίτη abest ab *l.* et MSo.

ab eodem abest δυοῖν.

ἣν εὔκρατον καλῶ ἐγὼ, *l.* ἣν κοινὴν καλῶ omisso ἐγὼ, vulg.

ἀντί τε κυρίου, idem.

κεκέρασται δέπως, *l.* alio loco ex eodem libr. memoratur: δέ ὡς.

ἐξ ἐκείνου μετρ., idem.

ἑκατέρᾳ κρατίστων Ald. superscriptis: *R.* et *v.* κρατίστῃ, *l.*

Ὧν αὕτη, *l.* et MS. ὧν vulg. omitt. αὐτὴ, Ald.

ἐπιτηδεία εἶναι; id. ἐπιτήδεια εἶν, Marg.

μεσότης μέν τις ἐστι, MS. τις inter versus Aldinae post ἐστι inseritur. Vulg. omitt. τις.

a MSo. absunt καὶ τεχνῶν.

οἳ κατ' ἐκείνην, Marg.

Digitized by Google

σοφοῦσιν. Ὁρᾶται δὲ, ὥσπερ ἔφην καὶ πρότερον, οὐ κατὰ ἀπαρτισμὸν, ἀλλ' ἐν πλάτει, καὶ τὰς ἰδικὰς πολλὰς ἔχει διαφοράς. Οἵ τε χρησάμενοι αὐτῇ, οὐ τὰ αὐτὰ πάντες, οὐδ' ὁμοίως ἐπετήδευσαν, ἀλλ' οἱ μὲν ταῦτα μᾶλλον, οἱ δ' ἐκεῖνα ἐπέτεινάν τε καὶ ἀνῆκαν, ἄλλως ἄλλοι τὰ αὐτὰ, καὶ πάντες ἐγένοντο λόγου ἄξιοι κατὰ πάσας τὰς ἰδέας τῶν λόγων.

Κορυφὴ μὲν οὖν ἁπάντων καὶ σκοπὸς,

Ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
Καὶ πᾶσαι κρῆναι, — — — — —

δικαίως ἂν Ὅμηρος λέγοιτο. Πᾶς γὰρ αὐτῷ τόπος, ὅτου τις ἂν ἅψηται, ταῖς τε αὐστηραῖς καὶ ταῖς γλαφυραῖς ἁρμονίαις εἰς ἄκρον διαπεποίκιλται. Τῶν δ' ἄλλως, ὅσοι τὴν αὐτὴν ἐκείνῳ μεσότητα ἐπετήδευσαν, ὕστεροι μέντοι Ὁμήρου μακρῷ παρ' ἐκεῖνον ἐξεταζόμενοι φαίνοιντ' ἄν· καθ' ἑαυτοὺς δὲ εἰ θεωροίη

καὶ τὰς ἰδικὰς π., *l.* εἰδικὰς, MS. πολλὰς idem habet post διαφοράς. Vulg. ἰδίας.

χρησάμενοι αὐτοί, MS.

ὁμοίως ab Aldo omissum Marg., ut solet, supplet.

ἐξ οὗ πάντες, MS.

τόπος οὗτις, Ald. τ. τὸ οὗ τις, *v.* τ. ἕτου τις, *l.* ὅτου item, MS. οὗ τ., vulg.

ἅψοιτο, MS.

καὶ ἀνῆκαν ἄρμ., idem.

Eidem ἐκείνῳ ante μεσότητα deest.

Sequentia ex *l.* et Marg. exhibenda curavi. Vulg. ὕστ. μὲν ἐκεῖνοι μακρ. παρ' Ὁμήρου ἔχετ.

φαίνοιτ' ἄν, Ald.

αὐτοὺς post θεωροίη τις abest a MSo.

Digitized by Google

τις αὐτοὺς, ἀξιοθέατοι· μελοποιῶν μὲν, Στησίχορός τε καὶ Ἀλκαῖος· τραγῳδοποιῶν δὲ, Σοφοκλῆς· συγγραφέων δὲ, Ἡρόδοτος· ῥητόρων δὲ, Δημοσθένης· φιλοσόφων δὲ, κατ' ἐμὴν δόξαν, Δημόκριτός τε καὶ Πλάτων καὶ Ἀριστοτέλης. Τούτων γὰρ ἑτέρους εὑρεῖν ἀμήχανον ἄμεινον κεράσαντας τοὺς λόγους. Καὶ περὶ μὲν τῶν χαρακτήρων ταῦτα ἱκανά· παραδείγματα δὲ τούτων οὐκ οἶομαι δεῖν φέρειν, φανερῶν πάνυ ὄντων καὶ οὐδὲν δεομένων λόγου.

Εἰ δέ τις δοκεῖ καὶ πόνου πολλοῦ ταῦτα καὶ πραγματείας μεγάλης ἄξια εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ κατὰ τὸν Δημοσθένην· ἀλλ' ἐὰν λογίσηται τοὺς ἐξακολουθοῦντας αὖ τοῖς κατορθουμένοις ἐπαίνους, καὶ τὸν καρπὸν τὸν ἀπ' αὐτῶν, ὡς γλυκὺς,

---

παραδείγματα γὰρ, *l.* εἰ δὲ τί μοι δοκ., idem.

—

κὐτ κατορθουμ., Marg. ἐπαίνους, *v.*

καρπὸν τῶν ἀπ' αὐτῶν, Marg. κ. τῶν ἁπάντων, vulg. Prior erat Reiskii coniectura, Schaefero probata. In Art. Rhetor. VII. 4. οἱ καρποὶ (inser. οἱ) ἀπὸ τῆς νίκης. Ap. Plutarch. V. Sertor. c. 9. T. IV. p. 11. leg., puto: ταῦθ' ὁ Σερτώριος ἀκούσας, ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους, καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγείς, καὶ πολεμῶν ἀπαύστων. Hoc enim habet Cod. Monac. 85. pro vulgat. ἁπάντων. [In verbis Dionysii τὸν καρπὸν τὸν ἁπαντῶντα suspicatur Orelli in Append. ad Isocr. Orat. περὶ ἀντιδ. p. 457.]

Digitized by Google

εὐπαθείας ἡγήσεται τοὺς πόνους. Ἐπικουρείων δὲ χορὸν, οἷς οὐδὲν μέλει τούτων, παραιτούμεθα· τὸ γὰρ ἐπίπονον τοῦ γράφειν οὕτως, ὡς αὐτὸς Ἐπίκουρος λέγει, τοῖς μὴ στοχαζομένοις τοῦ πυκνὰ μεταπίπτοντος κριτηρίου, πολλῆς ἀργίας ἦν καὶ ἀκαιότητος ἀλεξιφάρμακον.

ΤΜΗΜΑ κε'.

Λέξις ἄμετρος πῶς καλῷ ποιήματι ἢ μέλει ὁμοία γράφεται.

Τούτων δή μοι τέλος ἐχόντων ἐκεῖνά σε οἶομαι ποθεῖν ἔτι ἀκοῦσαι, πῶς γίνεται λέξις ἄμετρος ὁμοία

Ἐπικουρίων, Ald. Emendat. in *v.*

μέλλει τούτων, *l.*

παραιτοῦμαι, idem.

Sequentia sunt ex Marg. deprompta. Vulg. τὸ γὰρ· Οὐκ ἐπίπονον τοῦ γράφειν ὄντος, ὡς αὐτὸς, etc. γραφῆς, Ald. „Sententiam hanc obscurissimam non perspicio. Fieri non potest, quin aliqua sint omissa.“ Reisk. Quod edidi, aptissimum esse puto ad hunc sensum efficiendum: *Ita enim, si scribere laboriosum est, pluri-mae ignaviae ac ineptiae, ut ipse Epicurus censet, iis, qui iudicii crebro labentis, ad praecepta exigendi, incuriosi sunt, certissimum fuerit remedium.* Ne quis ἂν omisso offendat, conf. Schaefer. Mel. Crit. p. 55.

πολλῆς ἀργείας ἦν, Ald. ἀργίας, ut vulg., *l.*

Sect. XXV. τούτων δέ μοι, Ald. vulgatam praebent *v. l.*

τε ἐχόντων, Ald. τε ζ et τέλος ἐχ., *l.*

πῶς γίνεται, MS. et *l.* Vulg. πῶς γράφεται, quod

Digitized by Google

καλῷ ποιήματι ἢ μέλει, καὶ πῶς ποίημα ἢ μέλος πεζῇ λέξει καλῇ παραπλήσιον. Ἄρξομαι δὲ πρῶτον ἀπὸ τῆς ψιλῆς λέξεως, ἵνα τῶν ἀνδρῶν προχειρισάμενος, οὗ ἐν τοῖς μάλιστα οἶμαι τὴν ποιητικὴν ἐκμεμάχθαι φράσιν, βουλόμενος μὲν καὶ πλείους, οὐκ ἔχων δὲ χρόνον ἱκανὸν ἅπασι.

Φέρε δὴ, τίς οὐκ ἂν ὁμολογήσειε τοῖς κρατίστοις ἐοικέναι ποιήμασί τε καὶ μέλεσι τοὺς Δημοσθένους λόγους, καὶ μάλιστα τάς τε κατὰ Φιλίππου δημηγορίας, τούς τε δικανικοὺς ἀγῶνας τοὺς δημοσίους; ὧν ἓξ ἑνὸς ἀρκέσει προλαβεῖν τὸ προοίμιον τουτί·

„Μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, νομίσῃ με „μήτ' ἰδίας ἔχθρας μηδεμιᾶς ἕνεχ' ἥκειν Ἀριστοκρά-

---

vitium ex compendio natum esse, supra monui.

γε post ποίημα a MSo. abest.

Verba: οὗ ἐν τοῖς — βουλόμενος, ab Ald. omissa supplentur in Marg.

τ. ποιητικὴν ἐκμάχεσθαι φράσιν, MS. Inde et ex Marg. ascivi, φράσιν, quod vulg. desiderant.

καὶ τοὺς δικανικοὺς correxit P. Victor. inter versus.

ἀγῶνας abest ab *l.*

ἑνὸς ἁρμόσει λαβεῖν, Marg.

Verba: προλαβεῖν — τουτί absunt ab Aldin.

ἄνδρες ante Ἀθηναῖοι abest ab ead. ed. Suppletur ex *H.* δ Θ hisce siglis: ω α. Margo: „ut etiam legitur apud Demosthenem."

με post νομίσῃ in ead. omissum suppletur in *l.*

Mox Margo: „γρ. μήτε (ἰδίας ἔχθρ. sc.) est ap. Demosth."

Digitized by Google

„τους κατηγορήσοντα τουτουΐ, μήτε μικρὸν ὁρῶντά „τι καὶ Φαῦλον ἁμάρτημα, ἑτοίμως οὕτως ἐπὶ τού„τῳ προάγειν ἐμαυτὸν εἰς ἀπέχθειαν· ἀλλ' εἴπερ „ἄρ' ὀρθῶς ἐγὼ λογίζομαι καὶ σκοπῶ, περὶ τοῦ τὴν „Χερρόννησον ἔχειν ὑμᾶς ἀσφαλῶς, καὶ μὴ παρα„κρουσθέντας ἀποστερηθῆναι πάλιν αὐτῆς, περὶ „τούτων ἐστί μοι νῦν ἅπασα σπουδή."

Πειρατέον δὴ καὶ περὶ τούτων λέγειν, ὦ Φρονῶ. Μυστηρίοις μὲν οὖν ἔοικεν ἤδη ταῦτα, καὶ οὐκ εἰς πολλοὺς οἷά τε ἐστὶν ἐκφέρεσθαι· ὥστ' οὐκ ἂν εἴην φορτικὸς, εἰ παρακαλοίην, οἷς θέμις ἐστὶν, ἥκειν ἐπὶ τὰς τελετὰς τοῦ λόγου, θύρας δ' ἐπιθέσθαι λέγοιμι ταῖς ἀκοαῖς τοὺς βεβήλους. Εἰς γέλωτα γὰρ ἔνιοι λαμβάνουσι τὰ σπουδαιότατα δι' ἀπειρίαν, καὶ

μήτε ante μικρὸν om. MS. οὕτω, id.

ἐπὶ τούτων, Ald.

ἄρ' post εἴπερ omitt. MS.

ὀρθῶς ἐγὼ, et ἀφαλῶς ὑμᾶς, verso ordine, id. Quae praetuli. v. Sylburg. p. 379.

εἴπερ οὖν, Ald. εἴπερ ᾧ, Marg., qui alio loco habet haec adscripta: „apud Demosthenem: εἴπερ' ἄρα."

τὴν Χερρόννησον, altero ν manu Petri Victorii addito, Ald. Et ita scribendum erat. conf. infr.

περὶ τούτου νῦν, Ald. περὶ τούτων, l. περὶ τούτων ἐστί μοι νῦν ἃ στ., MS. περὶ τούτου τοίνυν ἐ. μ. ἅπ., vulg.

πειρατέον δὴ καὶ, v. l. π. δὲ κ., vulg. His verbis P. Victor. adscripsit haec: „desunt ab h. loco reliqua in l."

θύρας δ' ἐπίθεσθε, v.

τὰ σπουδαιότατα, Marg.

Digitized by Google

ἴσως οὐδὲν ἄτοπον πάσχουσιν. Ἃ δ' οὖν βούλομαι λέγειν, τοιάδε ἐστί.

Πᾶσα λέξις ἢ δίχα μέτρου συγκειμένη, ποιητικὴν μοῦσαν ἢ μελικὴν χάριν οὐ δύναται προσλαβεῖν, κατὰ γοῦν τὴν σύνθεσιν αὐτήν· ἐπεὶ καὶ ἡ ἐκλογὴ τῶν ὀνομάτων μέγα τι δύναται, καὶ ἔστι τις ὀνομασία ποιητικὴ, γλωττηματικῶν τε καὶ ξένων καὶ τροπικῶν καὶ πεποιημένων, οἷς ἡδύνεται ποίησις, εἰς κόρον ἐγκαταμιγέντων τῇ ἀμέτρῳ λέξει· ὃ ποιοῦσιν ἄλλοι τε πολλοὶ καὶ οὐχ ἥκιστα Πλάτων. Οὐ δὴ λέγω περὶ τῆς ἐκλογῆς· ἀλλ' ἀφείσθω κατὰ τὸ παρὸν ἡ περὶ ταῦτα σκέψις· περὶ τῆς συνθέσεως αὐτῆς ὡρίσθω ἡ θεωρία, τῆς ἐν τοῖς κοινοῖς ὀνόμασι καὶ τετριμμέ-

---

Margo: „γρ. πουδειοτα.“ quae posthac sunt obliterata.

μέτρου συγκειμένη, Ald. et MS. μ. ἐγκειμένη; vulg.

ἢ μελικὴν οἶμαι χάριν, idem. ποιητικὴν οὖσαν, Ald. οἶμαι, v. Supr. p. 124. Τίς γὰρ οὐκ ἂν ὁμολογήσειε, ὅτι καὶ τῆς ὀργανικῆς μούσης, καὶ τῆς ἐν ᾠδαῖς γοητείας, καὶ τῆς ἐν ὀρχήσει χάριτος ἐν ἅπασι μὲν διευστοχούσης, μεταβολὰς δὲ μὴ ποιησαμένης εὐκαί-

ρους — βαρὺς μὲν ὁ κόρος, etc.

Post verba: σύνθ. αὐτὴν MS. ita pergit: ἂν μὴ περιέχῃ μέτρα ἐγκατατεταγμένους ἀδήλους, quae extant p. 382.

ἔστι τις ὀνομασίας, idem.

οὐδὲ λέγω, Ald. Emendat. in v.

αὐτῆς ὡραία ἢ θεωρία, Ald. Margo: „γρ. ὡρίσθω.“ addito hoc compendio: ϛβ.

τοῖς κοινῆς ὀνόμασι, Ald. Margo: „κοιν, γρ. κοινοῖς.“

Digitized by Google

νοις καὶ ἥκιστα ποιητικοῖς τὰς ποιητικὰς χάριτας ἐπιδεικνυμένης. Ὅπερ οὖν ἔφην, οὐ δύναται ψιλὴ λέξις ὁμοία γενέσθαι τῇ ἐμμέτρῳ καὶ ἐμμελεῖ, ἐὰν μὴ περιέχῃ μέτρα καὶ ῥυθμούς τινας ἐγκαταμεμιγμένους ἀῤῥήλους. Οὐ μέντοι προσήκει γε ἔμμετρον οὐδ' ἐῤῥυθμον αὐτὴν εἶναι δοκεῖν· ποίημα γὰρ οὕτως ἔσται καὶ μέλος, ἐκβήσεταί τε ἁπλῶς τὸν αὐτῆς χαρακτῆρα· ἀλλ' εὔρυθμον αὐτὴν ἀπόχρη καὶ εὔμετρον φαίνεσθαι μόνον. Οὕτω γὰρ ἂν εἴη ποιητικὴ μὲν, οὐ μὴν ποίημά γε· καὶ εὐμελὴς μὲν, οὐ μέλος δέ.

Τίς δ' ἐστὶν ἡ τούτων διαφορὰ, πάνυ ῥᾴδιον ἰδεῖν.

ἀῤῥήλους, cum MSo Ald. ἀδήλως, vulg. v. Heusd. specim. crit. in Plat. p. 77. „Laudat Themist. Orat. XXIX. p. 345. locum Platonis Hipp. p. 368. (ubi Harduini correctionem pro καὶ πολλοὺς λόγους καὶ παντοδάπους συγκειμένους legentis παντοδαπῶς ipse Platonis locus supervacuam esse ostendit.) Similiter Polit. 290. A. οὓς γε ὁρῶμεν μισθωτοὺς καὶ ζητας πᾶσιν ἑτοίμους ὑπηρετοῦντας." add. Herodot. II. 137. πόλεις τασσομένας ὑψηλαί. Quamobrem non est, quod ap. Thucyd. III. 39. in verbis: χρῆν δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ἡμῶν τετιμῆσθαι, mutetur quidquam, quamvis sunt, qui iubeant legi διαφερόντως.

οὐδ' εὔρυθμον, MS. ita pergens: αὐτὴν χρὴ καὶ ἔμμετρον φαίνεσθαι μόνον, οὕτω γὰρ ἂν εἴη ποιητικὴ, etc.

τὸν αὐτῆς χαρακτῆρα, Ald. καὶ ἐμμελὴς μὲν, Ald. et MS.

Digitized by Google

Ἡ μὲν ὅμοια περιλαμβάνουσα μέτρα, καὶ τεταγμένους σώζουσα ῥυθμοὺς, καὶ κατὰ στίχον, ἢ περίοδον, ἢ στροφὴν, διὰ τῶν αὐτῶν σχημάτων περαινομένη, κἄπειτα πάλιν τοῖς αὐτοῖς ῥυθμοῖς καὶ μέτροις ἐπὶ τῶν ἑξῆς στίχων, ἢ περιόδων, ἢ στροφῶν χρωμένη, καὶ τοῦτο μέχρι πολλοῦ ποιοῦσα, ἔῤῥυθμός ἐστι καὶ ἔμμετρος, καὶ ὀνόματα κεῖται τῇ τοιαύτῃ λέξει μέτρον καὶ μέλος· ἡ δὲ πεπλανημένα μέτρα καὶ ἀτάκτους ῥυθμοὺς ἐμπεριλαμβάνουσα, καὶ μήτε ἀκολουθίαν ἐμφαίνουσα αὐτῶν, μήτε ὁμοζυγίαν, μήτε ἀντιστροφὴν, εὔρυθμος μέν ἐστιν, ἐπειδὴ διαπεποίκιλταί τισι ῥυθμοῖς, οὐκ ἔῤῥυθμος δὲ, ἐπειδὴ οὐχὶ τοῖς αὐτοῖς, οὐδὲ κατὰ τὸ αὐτό. Τοιαύτην εἶναι δή φημι πᾶσαν λέξιν ἄμετρον, ἥτις ἐμφαίνει τὸ ποιητικὸν καὶ μελικόν· ἣ δὴ καὶ τὸν Δημοσθένη κεχρῆσθαί φημι. Καὶ ὅτι ἀληθῆ ταῦτά ἐστι, καὶ οὐδὲν ἐγὼ καινοτομῶ, λάβοι μὲν ἄν τις καὶ ἐκ τῆς Ἀριστοτέλους μαρτυρίας τὴν πίστιν· εἴ-

---

καὶ ante κατὰ στ. adieci ex Marg. et MSo.

αὐτῶν ante σχημάτων, ab Ald. omissum additur in Marg.

ἐπειδὴ οὐ τῆς αὐτῆς, οὐδὲ κατὰ τὸ αὐτὸ, MS.

idem mox ponit εἶναι post πᾶσαν, ut Aldus.

λ. ἄμετρον ἥτις ex Aldina revocavi pro vulg. λ. εὔμετρον ἥτ.

Digitized by Google

ρηται γὰρ τῷ Φιλοσόφῳ τά τε ἄλλα περὶ τῆς λέξεως τῆς πολιτικῆς ἐν τῇ τρίτῃ βίβλῳ τῶν Ῥητορικῶν Τεχνῶν, οἵαν αὐτὴν εἶναι προσήκει, καὶ δὴ καὶ περὶ τῆς εὐρυθμίας, ἐξ ὧν ἂν τοιαύτη γένοιτο· ἐν ᾗ τοὺς ἐπιτηδειοτάτους ὀνομάζει ῥυθμοὺς, καὶ τῇ χρήσιμος ἕκαστος αὐτῶν καταφαίνεται, καὶ λέξεις παρατίθηαί τινας, αἷς πειρᾶται βέβαιοῦν τὸν λόγον· χωρὶς δὲ τῆς Ἀριστοτέλους μαρτυρίας, ὅτι ἀναγκαῖόν ἐατιν ἐμπεριλαμβάνεσθαί τινας τῇ πεζῇ λέξει ῥυθμοὺς, εἰ μέλλοι τὸ ποιητικὸν ἐπανθήσειν αὐτῇ κάλλος, ἐκ τῆς πείρας αὐτῆς γνώσεται.

Αὐτίκα ὁ κατὰ Ἀριστοκράτους λόγος, οὗ καὶ μικρῷ πρότερον ἐμνήσθην, ἄρχεται μὲν ἀπὸ κωμικοῦ στίχου τετραμέτρου δι' ἀναπαίστων τῶν ῥυθμῶν ἐγκειμένου· λείπεται δὲ ποδὶ τοῦ τελείου, παρ' ὃ καὶ

εἶναι προσῆκεν, Ald.

ἐπανθήσειν αὐτῇ, idem.

